# ΠΕΝΘΕΥΣ ἢ ΒΑΚΧΑΙ.

SISMANOGLIO

# ΥΠΟΘΕΣΙΣ.

ΔΙΟΝΥΣΟΣ ἀποθεωθεὶς, μὴ βουλομένου Πενθέως τὰ ὄργια αὐτοῦ ἀναλαμβάνειν, εἰς μανίαν ἀγαγὼν τὰς τῆς μητρὸς ἀδελφὰς, Σεμέλης λέγω, ἠνάγκασεν αὐτὰς τὸν Πενθέα διασπάσασθαι· ἡ μυθοποιΐα κεῖται παρ' Αἰσχύλῳ ἐν ΠΕΝΘΕΙ. τὸ ὄνομα μόνον μεταπεποίηται Εὐριπίδῃ. Ὁ χορὸς μὲν συνέστηκεν ἐκ γυναικῶν Βακχῶν· ἡ δὲ σκηνὴ τοῦ δράματος ἐν Θήβαις.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΙΟΝΥΣΟΣ.
ΧΟΡΟΣ βακχῶν.
ΤΕΙΡΕΣΙΑΣ.
ΚΑΔΜΟΣ.
ΠΕΝΘΕΥΣ.
ΘΕΡΑΠΩΝ.
ΑΓΓΕΛΟΣ.
ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ.
ΑΓΑΥΗ.

SISMANOGLIO MEGARO

# ΒΑΚΧΑΙ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΔΙΟΝΥΣΟΣ, ΧΟΡΟΣ, ΤΕΙΡΕΣΙΑΣ, ΚΑΔΜΟΣ, ΠΕΝΘΕΥΣ.

ΔΙ. Ἥκω Διὸς παῖς τήνδε Θηβαίων χθόνα
Διόνυσος, ὃν τίκτει ποθ' ἡ Κάδμου κόρη,
Σεμέλη, λοχευθεῖσ' ἀστραπηφόρῳ πυρί·
Μορφὴν δ' ἀμείψας ἐκ θεοῦ βροτησίαν,
Πάρειμι Δίρκης νάματ' Ἰσμηνοῦ θ' ὕδωρ.
Ὁρῶ δὲ μητρὸς μνῆμα τῆς κεραυνίας
Τόδ' ἐγγὺς οἴκων, καὶ δόμων ἐρείπια
Τυφόμενα, δίου τ' ἔτι πυρὸς ζῶσαν φλόγα,

3. Λοχευθεῖσα] συλλαβοῦσα γεννήσασάμε ἐκ τοῦ ἀστραπηφόρου πυρός· τοῦ Διὸς γὰρ ὁμιλοῦντος Σεμέλῃ τῇ τοῦ Κάδμου ἐξ ἔρωτος, ζηλοτυπήσασα ἡ Ἥρα, πείθει Σεμέλην δεηθῆναι τοῦ Διος ἐλθεῖν ὡς αὐτὴν ἔγκυον ἤδη οὖσαν σὺν τῇ δόξῃ, ἣν ἔχων κάθηται ἐν οὐρανῷ ἐπὶ θρόνου· ὁ δὲ, καίτοι ἄκων μὲν, ἀλλὰ χαρίζεται τοῦτο τῇ ἐρωμένῃ· ἀλλ' οὐκ ἔφθη εἰσελθὼν ἀστραπηφόρος, καὶ ὁ οἶκος ἀποτετέφρωται τῷ θείῳ πυρί, οὗ παρανάλωμα γενομένης καὶ τῆς Σεμέ-

SISMANOGLIO MEGARO

# ΒΑΚΧΑΙ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

ΔΙΟΝΥΣΟΣ, ΧΟΡΟΣ, ΤΕΙΡΕΣΙΑΣ, ΚΑΔΜΟΣ, ΠΕΝΘΕΥΣ.

ΔΙ. ΔΙΟΝΥΣΟΣ ὁ Διὸς καὶ Σεμέλης τῆς Κάδμου γενόμενος ἦλθον εἰς τήνδε τὴν γῆν τῶν Θηβαίων παρ' αὐτὰ τῆς Δίρκης τὰ νάματα, καὶ τὸ ῥεῖθρον τοῦ Ἰσμηνοῦ, μορφὴν ἀνθρώπου ἀντὶ θεοῦ περικείμενος ἔξωθεν· ὁρῶ δ' ἐνταῦθα παρὰ τῇ οἰκίᾳ τὸν τῆς κεραυνωθείσης μητρός μου τάφον, τάτε τῆς οἰκίας ἐρείπια ἔτι κατηθαλωμένα, καὶ τὴν τοῦ θείου πυρὸς φλόγα ταύτην δὴ τὴν ἀθανα-

λης, μόλις τὸ βρέφος ἀναρπασθὲν ἐκ τῆς γαστρὸς ἑπταμηνιαῖον, ἀπήχθη ὡς τὸν Δία ἀβλαβὲς ὑπὸ τοῦ πυρός· ὃ ἐκεῖνος λαβὼν κατά τινας μὲν ὑπέθαψεν ἐν τῷ ἑαυτοῦ μηρῷ, διατεμὼν αὐτὸν, καὶ συῤῥάψας· κατὰ δὲ τὸν ποιητὴν (ἴδε κατωτέρω στίχ. 274.) ἐκάλυψε νέφει, μέχρις οὗ ἀρτιωθεὶς ἐν τῷ λοιπῷ χρόνῳ, παρεδόθη ταῖς Νύμφαις, ἢ τῇ Ἰνοῖ πρὸς ἀνατροφὴν ἢ κατ' ἄλλους ἀπήχθη ὑπὸ τοῦ Ἑρμοῦ εἰς τὴν Νύσσαν πολιν τῆς Ἀραβίας, ἢ τῆς Ἰνδικῆς, ἔνθα πρῶτον τὰ ἑαυτοῦ ἐδίδαξεν ὄργια.

Ἀθάνατον Ἥρας μητέρ' εἰς ἐμὴν ὕβριν.
Αἰνῶ δὲ Κάδμον, ἄβατον ὃς πέδον τόδε
Τίθησι, θυγατρὸς σηκόν· ἀμπέλου δέ νιν
Πέριξ ἐγὼ 'κάλυψα βοτρυώδει χλόῃ.
Λιπὼν δὲ Λυδῶν τὰς πολυχρύσους γύας,
Φρυγῶν τε, Περσῶν θ' ἡλιοβλήτους πλάκας,
Βακτριά τε τείχη, τήν τε δύσχειμον χθόνα
Μήδων ἐπελθὼν, Ἀραβίας τ' εὐδαίμονα.
Ἀσίαν τε πᾶσαν, ἣ παρ' ἁλμυρὰν ἅλα
Κεῖται, μιγάσιν Ἕλλησι βαρβάροις θ' ὁμοῦ
Πλήρεις ἔχουσα καλλιπυργώτους πόλεις,
Κἀκεῖ χορεύσας καὶ καταστήσας ἐμὰς
Τελετὰς, ἵν' εἴην ἐμφανὴς δαίμων βροτοῖς,
Ἐς τήνδε πρῶτον ἦλθον Ἑλλήνων πόλιν.
Πρώτας δὲ Θήβας τῆσδε γῆς Ἑλληνίδος
Ἀνωλόλυξα, νεβρίδ' ἐξάψας χροὸς,
Θύρσον τε δοὺς ἐς χεῖρας, κίσσινον βέλος,
Ἐπεί μ' ἀδελφαὶ μητρὸς, ἃς ἥκιστ' ἐχρῆν,
Διόνυσον οὐκ ἔφασκον ἐκφῦναι Διὸς,
Σεμέλην δὲ, νυμφευθεῖσαν ἐκ θνητοῦ τινος,
Ἐς Ζῆν' ἀναφέρειν τὴν ἁμαρτίαν λέχους,
Κάδμου σοφίσμαθ', ὧν νιν οὕνεκα κτανεῖν
Ζῆν' ἐξεκαυχῶνθ', ὅτι γάμους ἐψεύσατο.
Τοιγάρ νιν αὐτὸς ἐκ δόμων οἴστρησ' ἐγὼ

14. Πλάκας] γαίας· οὕτω δὲ καὶ ἐν Ἑκάβῃ (σιχ. 8.) Ὃς τὴν ἀρίστην Χερσονησίαν πλάκα σπείρει. 15. Βάκτρειά τε τείχη] Βάκτρα καὶ Βάκτανα δοκεῖ ταῦτα εἶναι, ἡ μητρόπολις τῆς Μήδων ἀρχῆς· ἔνθα οἱ βασιλεῖς τῶν Περσῶν ἐθέριζον, δυσχειμέρου οὔσης Μηδίας. 25. Θύρσον] ὁ κόσμος, ἢ ὁπλισμὸς τῶν



τον τῆς Ἥρας πρὸς τὴν ἐμὴν μητέρα ὕβριν, πυρσεύουσαν ἔτι· ἐπαινῶ δὲ Κάδμον, ὃς τὸν χῶρον τοῦτον ἄβατον ποιήσας, σηκὸν τῇ θυγατρὶ εἶναι τέταχεν· ὃν ἐγὼ ἄμπελον φυτεύσας πλατύφυλλον, ἀμφεκάλυψα πέριξ. Οὕτως οὖν καταλιπὼν Λυδίαν, τὴν πολύχρυσον, καὶ Φρυγίαν, τάς τ' εὐρυχώρους τῶν Περσῶν πεδιάδας, καὶ τὰ τῶν Βάκτρων τείχη· τήν τε δυσχείμερον ἐπελθὼν Μηδίαν, Ἀραβίαν τε τὴν εὐδαίμονα, καὶ πᾶσαν τὴν Ἀσίαν, ὅσηγε παρατείνει τὸ πέλαγος τῆς μεσογείου, μεγάλας τε καὶ πολλὰς πόλεις πλήρεις ἀνθρώπων μιγάδων Ἑλλήνων τε καὶ βαρβάρων ἔχουσα· ταῦτα δὴ διϊὼν ἐν χοροῖς, καὶ τὰς ἐμαυτοῦ τελετὰς καταστήσας νομίμους, ἵν' εἰδῶσι κἀμὲ θεὸν ὄντα ἄνθρωποι, Θήβας πρῶτον τάσδε τῆς Ἑλληνίδος γῆς ἐξεβάκχευσα, νεβρίδα περιβαλὼν Θηβαΐδας, καὶ θύρσον κίσσινον λογχοφόρον δοὺς αὐταῖς ἐν χερσίν· αἱ γὰρ τῆς ἐμῆς μητρὸς ἀδελφαὶ, ἃς ἥκιστ' ἐχρῆν, ἀπέφασκον ἐκ Διὸς ἐκφύναι Διόνυσον, ἀλλὰ σκότιον γάμον θνητῷ τινι συναρμόσασαν τὴν Σεμέλην, εἰς τὸν Δία ἀποδοῦναι τὴν ὁμιλίαν, ὡς δῆθεν Κάδμον σοφισάμενον ταῦτα· ἀνθ' ὧν ἀποκτεῖναι αὐτὴν τὸν θεὸν κεραυνῷ, ὡς κατεψευσαμένην αὐτοῦ ὁμιλίαν· διὸ ἔτρεψα κἀγὼ αὐτὰς εἰς

Βακχῶν ἦν οὕτως ἔχων· θύρσος ἦν αὐταῖς ἐν τῇ δεξιᾷ, ὃ ἐστι δοράτιον λόγχην ἐν τῷ ἄκρῳ ἔχον, περιελισσομένην κισσῷ τε καὶ ἀμπέλῳ· ἐν δὲ τῇ λαιᾷ ῥάβδος τις ἐκ νάρθηκος κούφου· οὗ κατὰ τὸ ἄκρον ἄνω ἐξήρχετο φλόξ· ἴδε δὲ προϊών. σίχ. 695. καὶ ἑξῆς. 30. Κάδμου σοφίσματα] πότερον Κάδμος ἐσοφίσατο, ἵνα συγκρύψῃ τὴν αἰσχύνην τῆς θογατρὸς, ἢ ἡ θυγάτηρ ἐσοφίσαθ' οὕτως τὸν πατέρα, συγκαλύπτουσα τὴν μοιχίαν;

Μανίαις· ὄρος δ' οἰκοῦσι, παράκοποι φρενῶν.
Σκευήν τ' ἔχειν ἠνάγκασ' ὀργίων ἐμῶν,
Καὶ πᾶν τὸ θῆλυ σπέρμα Καδμείων, ὅσαι
Γυναῖκες ἦσαν, ἐξέμηνα δωμάτων·
Ὁμοῦ δὲ Κάδμου παισὶν ἀναμεμιγμέναι
Χλωραῖς ὑπ' ἐλάταις ἀνορόφοις ἧνται πέτραις.
Δεῖ γὰρ πόλιν τήνδ' ἐκμαθεῖν, καὶ μὴ θέλει,
Ἀτέλεστον οὖσαν τῶν ἐμῶν Βακχευμάτων,
Σεμέλης τε μητρὸς ἀπολογήσασθαί μ' ὕπερ,
Φανέντα θνητοῖς δαίμον', ὃν τίκτει Διΐ.
Κάδμος μὲν οὖν γέρας τε καὶ τυραννίδα
Πενθεῖ δίδωσι, θυγατρὸς ἐκπεφυκότι,
Ὃς θεομαχεῖ τὰ κατ' ἐμὲ καὶ σπονδῶν ἄπο
Ὠθεῖ μ', ἐν εὐχαῖς τ' οὐδαμοῦ μνείαν ἔχει.
Ὧν οὕνεκ' αὐτῷ θεὸς γεγὼς ἐνδείξομαι
Πᾶσίν τε Θηβαίοισιν. ἐς δ' ἄλλην χθόνα,
Τἀνθένδε θέμενος εὖ, μεταστήσω πόδα
Δεικνὺς ἐμαυτόν· ἢν δὲ Θηβαίων πόλις
Ὀργῇ ξὺν ὅπλοις ἐξ ὄρους Βάκχας ἄγειν
Ζητῇ, ξυνάψω Μαινάσι στρατηλατῶν.
Ὧν οὕνεκ' εἶδος θνητὸν ἀλλάξας ἔχω,
Μορφήν τ' ἐμὴν μετέβαλον εἰς ἀνδρὸς φύσιν·
Ἀλλ', ὦ λιποῦσαι Τμῶλον, ἔρυμα Λυδίας,
Θίασος ἐμὸς, γυναῖκες, ἃς ἐκ βαρβάρων
Ἐκόμισα παρέδρους καὶ ξυνεμπόρους ἐμοὶ,
Αἴρεσθε τἀπιχώρι' ἐν πόλει Φρυγῶν



μανίαν, ὥστ' ἐκβακχεύειν ἐς τὸ ὄρος φρενήρεις ὑπὸ χλωραῖς ἐλάταις καὶ πέτραις ἀνορόφοις, αὐτάς τε ταύτας καὶ πᾶν τὸ γυναικεῖον ἐν Θήβαις φῦλον, τὴν τῶν ἐμῶν ὀργίων σκευὴν ἠμφιεσμένας· δεῖ γὰρ δὴ τήν τε πόλιν ταύτην, κἂν ἑκοῦσα μὴ δέχηται τοῦτο, ἀλλ' οὖν ἀτέλεστον οὖσαν, τἀμὰ μυηθῆναι μυστήρια, κἀμὲ ἀναφανέντα θεὸν τοῖς θνητοῖς, ἀπολογήσασθαι ὑπὲρ τῆς μητρὸς, ὡς ἀληθῶς ἐκ Διός με τεκοῦσα ἔχει. Ὁ μὲν οὖν Κάδμος τὸ γέρας τῆς βασιλείας καὶ τὸ σκῆπτρον αὐτὸ Πενθεῖ τῷ παιδὶ τῆς ἑαυτοῦ δίδωσι θυγατρός· ὁ δὲ ἀποστρέφεταί με, τῶν τε σπονδῶν ἀποκλείων, καὶ ἐν εὐχαῖς οὐδεμίαν ποιούμενος μνείαν· ἀνθ' ὧν αὐτῷ τε τούτῳ καὶ πᾶσι Θηβαίοις δείξω θεὸς γεγονώς· ἐπειδὰν δὲ τάχιστα εὖ θῶμαι ταῦτα, καὶ δείξω, ὅστις πότ' εἰμὶ, εἰς ἑτέραν μεταβήσομαι πόλιν· εἰ δὲ Θηβαῖοι ἐξ ὀργῆς ζητήσουσιν ὅπλοις ἐκβιάσασθαι τὰς Βάκχας κατελθεῖν ἀπὸ τοῦ ὄρους, ἀντεπεξελεύσομαι αὐτοῖς, ἐκείνων ἡγούμενος· διὸ τό, τε εἶδος τὸ ἐμαυτοῦ τυγχάνω μεταβαλὼν, καὶ τὴν μορφὴν ὅλως εἰς ἀνδρὸς μετήλλαξα φύσιν. Ἀλλ' ὦ γυναῖκες, θίασος οὑμὸς, αἱ Τμῶλον λιποῦσαι, τὸ τῆς Λυδίας προπύργιον, ἃς ἐκ βαρβάρων ἦκον παρέδρους καὶ συνεμπόρους ἄγων, ἄρατε τύμπανα τἀπιχώρια τοῖς Φρυξὶ, ταῦτα δὴ τὰ Ῥέας τῆς τῶν θεῶν

56. Θίασος ἐμός] χορὸς Μαινάδων ἑτέρων οὗτος, ἃς ἦλθεν ἄγων ἐκ τῆς Ἀσίας.

Τύμπανα, Ῥέας τε μητρὸς ἐμά θ' εὑρήματα,
Βασίλειά τ' ἀμφὶ δώματ' ἐλθοῦσαι τάδε,
Κτυπεῖτε Πενθέως, ὡς ὁρᾷ Κάδμου πόλις.
Ἐγὼ δὲ Βάκχαις, ἐς Κιθαιρῶνος πτύχας
Ἐλθὼν, ἵν' εἰσὶ, συμμετασχήσω χορῶν.

ΧΟ. Ἀσίας ἀπὸ γᾶς ἱερὸν Τμῶλον ἀ
Μείψασα θεάζω Βρομίῳ,
Πόνον ἡδὺν κάματόν τ' εὐκάματον,
Τὸν Βάκχιον εὐαζομένα θεόν.
Τίς ὁδῷ; τίς ὁδῷ;
Τίς δὲ μελάθροις; ἔκτοπος ἔστω,
Στόμα τ' εὔφημον ἅπας ὁσιούσθω·
Τὰ νομισθέντα γὰρ
Αἰεὶ Διόνυσον ὑμνήσω.
Ὦ μάκαρ, ὅστις εὐδαίμων τελετὰς θεῶν (Στρ.ά.)
Εἰδὼς, βιοτὰν ἁγιστεύει,
Καὶ θιασεύαται ψυχὰν, ἐν
Ὄρεσι βακχεύων ὁσίοισι καθαρμοῖς,
Τά τε ματρὸς μεγάλας ὄργια Κυβέλας θεμιτεύων,
Ἀνὰ θύρσον τε τινάσσων, κισσῷ τε στεφανωθεὶς,
Διόνυσον θεραπεύει.
Ἴτε Βάκχαι, ἴτε Βάκχαι, Βρόμιον παῖδα θεὸν θεοῦ
Διόνυσον κατάγουσαι Φρυγίων ἐξ ὀρέων Ἑλ
Λάδος εἰς εὐρυχόρους ἀγυιὰς, τὸν Βρόμιον·
Ὅν ποτ' ἔχουσ' ἐν ὠδίνων λοχίαις ἀνάγ- (Ἀντ.ά.)
Καισι, πταμένας Διὸς βροντᾶς,
Νηδύος ἔκβολον μάτηρ ἔ-
Τεκε, λιποῦσ' αἰῶνα κεραυνίῳ πλαγᾷ·



μητρὸς, καὶ ἐμοῦ ἐφευρέματα· καὶ ἐλθοῦσαι πρὸς ταῖς θύραις τῶν ἀνακτόρων Πενθέως, κτυπεῖτε ἐν ὄψει πάσης τῆς πόλεως· ἐγὼ δ' ἀνελθὼν εἰς τὸν Κιθαιρῶνα, συγχωρεύσω ταῖς Βάκχαις.

ΧΟ. Τὸν ἱερὸν τῆς Ἀσίας καταλιποῦσα Τμῶλον, πόνον ἡδὺν καὶ κάματον τῷ Βρομίῳ εὐκάματον ἀφοσιῶ, θεὸν τιμῶσα τὸν Βάκχιον· τίς ἐστιν ἐν ὁδῷ; τίς ἐν ὁδῷ τυγχάνει; τίς ἐν οἴκῳ; ἐκχωρείτω πᾶς, καὶ στόμα εὔφημον κεκτήσθω· ὕμνος γὰρ τὸ πραττόμενον κατὰ τὰ νομιζόμενα πρὸς Διόνυσον.

Ὡς μακάριος, ὡς εὐδαίμων, ὅστις τὰς τῶν θεῶν εἰδὼς τελετὰς, τόν τε βίον ἑαυτοῦ ἁγιστεύει, καὶ τὴν ψυχὴν θιασεύεται ὁσίοις καθαρμοῖς, βακχεύων ἐν ὄρεσι τά τε τῆς Κυβέλης τῆς τῶν θεῶν μητρὸς τιμῶν ὄργια, καὶ τὸν θύρσον ἀνατινάσσων, ἐστεφανωμένος κισσῷ, εὐάζει Διόνυσον. Ἴτ' ὦ Βάκχαι, ἴτε Βάκχαι, Διόνυσον τὸν βρόμιον, θεὸν θεοῦ παῖδα ἐκ τῶν Φρυγίων ὀρέων εἰς τὰς εὐρυχόρους ἀγυιὰς τῆς Ἑλλάδος κατάγουσαι.

Ὃν ἡ μὲν μήτηρ ἐν ταῖς τῶν ὠδίνων ἀνάγκαις οὖσα, ὑπὸ τῆς τοῦ Διὸς ἐκβιασθεῖσα βροντῆς, ἔτεκεν ἐν τῷ ἀποθνήσκειν, πληγεῖσα κεραυνῷ· ὁ δὲ Ζεὺς ἀναρπάσας

---

ὁ δὲ Τμῶλος ὄρος τῆς Λυδίας. 59. Ἐμὰ ἐφευρήματα] Ῥέα τεκοῦσα τὸν Δία, ἵνα μὴ καταπίῃ αὐτὸν Κρόνος ὁ πατὴρ, παρέδωκεν αὐτὸν τοῖς Κουρῆσι κατοικοῦσι τὴν Κνωσσὸν πόλιν Κρήτης ἀναθρέψαι· ἀλλ' ἵνα μὴ κλαυθμυρίζοντος τοῦ βρέφους, ἀκούῃ αὐτοῦ ὁ πατὴρ, ἐφευροῦσα ἡ μήτηρ τὰ τύμπανα, παρέδωκε τοῖς Σατύροις, ἵνα κροταλιζόντων αὐτῶν τούτοις, ἀνήκουστα ᾖ τῷ Κρό-

Λοχίοις δ' αὐτίκα νιν δέξατο θαλάμοις Κρονίδα Ζεύς!
Κατὰ μηρῷ δὲ καλύψας, χρυσέαισιν συνερείδει
Περόναις κρυπτὸν ἀφ' Ἥρας.
Ἔτεκεν δ', ἁνίκα Μοῖραι τέλεσαν ταυρόκερων θεὸν,
Στεφανωσέν τε δρακόντων στεφάνοις, ἔνθεν ἄγραν θυρ-
Σοφόροι Μαινάδες ἀμφιβάλλονται πλοκάμοις.
Ὦ Σεμέλας τροφοὶ Θῆβαι, (Στρ. β'.)
Στεφανοῦσθε κισσῷ'
Βρύετε, βρύετε χλοηρᾷ
Σμίλακι καλλικάρπῳ,
Καὶ καταβακχειοῦσθε δρυὸς
Ἢ ἐλάτας κλάδοισι,
Στικτῶν τ' ἐνδυτὰ νεβρίδων
Στέφετε λευκοτρίχων πλοκάμων
Μαλλοῖς· ἀμφὶ δὲ νάρθηκας ὑβριστὰς
Ὁσιοῦσθ'· αὐτίκα γᾶ πᾶσα χορεύσει
Βρόμιον, ὅστις ἄγει θιάσους
Εἰς ὄρος, εἰς ὄρος, ἔνθα μένει
Θηλυγενὴς ὄχλος
Ἀφ' ἱστῶν, παρὰ κερκίδων τ'
Οἰστρηθεὶς Διονύσῳ·
Ὦ θαλάμευμα Κουρήτων, (Ἀντ. β'.)
Ζάθεοί τε Κρῆτες,
Διογενέτορες ἔναυλοι,

νῳ τὰ τοῦ παιδὸς κλαυθμυρίσματα. 91. Θυρσοτρόφοι] ἐν ἄλλοις θηροφόροι, ἢ ὀφιοφόροι. ἴδε παρακατιὼν στίχ. 695. καὶ ἑξῆς· δοκοῦσι γὰρ αἱ Μαινάδες καὶ ὄφεις περὶ τὸν τράχηλον ἑλίσσειν ἐν τοῖς Χοροῖς· οὓς τρέφουσαι εἶχον.
100. Λευκοτρίχων] πότερον τὴν πολιὰν τῶν γραῶν γυναικῶν ἐννοεῖ, ἢ ἑτέρους μαλλοὺς λευκοὺς προσθετούς; καὶ μὴν ἦσαν καὶ νέαι Βάκχαι ἐν ταῖς γεραιαῖς· τὸ δὲ ὑβριστὰς, ἑπομένως, τὸ εἰς μανίαν τρέποντας δηλοῖ.
110. Διογενέτορες] οἱ Κρῆτες οὕτω καλοῦνται διὰ τὸ τὸν Δία παρ' αὐτοῖς



τὸ βρέφος, σχάσας τε τὸν ἑαυτοῦ μηρὸν· ἐθαλάμευσεν αὐτὸ ἐν αὐτῷ, καὶ χρυσοῖς ῥάμμασι συγκαλύψας πρὸς τὸ λαθεῖν τὸ τῆς Ἥρας ἀντίζηλον, περιέθαλψε, μέχρις οὗ, τῶν Μοιρῶν θρεψασῶν αὐτὸν θεὸν ταυρόκερων ὅλως, ἐγέννησέ τε, καὶ δρακοντείοις ἐστεφάνωσε στέμμασιν· ὅθεν αἱ Μαινάδες λαβοῦσαι τοὐνδόσιμον, οὓς ἂν ἀγρεύσωσιν ὄφεις, ἐν τοῖς ἑαυτῶν εἱλίσσουσιν πλοκάμοις.

Ὦ Θῆβαι ἱεραὶ, ἡ τροφὸς τῆς Σεμέλης, στεφανοῦσθε κισσῷ· βρύετε χλωρᾷ σμίλακι καλλικάρπῳ, θάλλετε· καὶ δρυὸς, ἢ ἐλάτης ἐκβακχεύεσθε κλάδοις· τάς τε στικτὰς νευρίδας περιστέφετε πλοκάμοις ἐκ μαλλῶν λευκοτρίχων, καὶ περὶ τοὺς εἰς μανίαν ἱερὰν κινοῦντας καθαγνίζεσθε νάρθηκας· αὐτίκα γὰρ χορεύσει πᾶσα ἡ γῆ. Βρόμιος γὰρ οὗτος, ὃς ἑορτάζει θιάσους ἐν Κιθαιρῶνι, ἔνθα γυναικῶν πολὺς συνήθροισται ὄχλος, ἀπ' αὐτῶν τῶν ἱστῶν καὶ κερκίδων ἐξοιστρηθεῖσαι ὑπ' αὐτοῦ Διονύσου.

Ὦ Κρήτη, ὁ τῶν κουρήτων ἱερὸς θάλαμος· ὦ θειότατοι Κρῆτες διογενήτορες, ἔνθα οἱ Κορύβαντες τὸ

γεννηθῆναι· πολλὴ δὲ ἡ διαφορὰ τῆς γραφῆς ἑξῆς ἐν ἄλλοις. ἔχει γὰρ ὡδί.
» Διογενέτορες ἔναυλοι·
» Ἔνθα τρικόρυθες ἄντροις
» Βυρσότονον κύκλωμα τόδε
» Μοὶ Κορύβαντες εὗρον·
» Ἀνὰ δὲ Βάκχεια συντόνῳ
» Κέρασαν ἡδυβόα Φρυγίων
» Αὐλῶν πνεύματι, ματρός τε Ῥέας εἰς
» Χέρα θῆκαν, κτύπον ἐν τ' ᾄσμασι Βακχῶν·

Τρικόρυθές γ', ἵν' ἄντροις
Βυρσότονον κύκλωμα τόδε
Μοι Κορύβαντες εὗρον·
Ἀνὰ δὲ βάκχια συντόνῳ
Κέρασαν ἡδυβόα Φρυγίων
Αὐλῶν πνεύματι, θῆκάν τε Ῥέας εἰς
Χέρα, καλλίκτυπον εὐάσμασι Βακχᾶν·
Παρὰ δέ μαινόμενοι Σάτυροι
Ματέρος ἐξανύσαντο θεᾶς·
Εἰς δὲ χορεύματα
Συνῆψαν Τριετηρίδων,
Αἷς χαίρει Διόνυσος,
Ἡδὺς ἐν οὔρεσιν, ὅταν ἐκ θιάσων (Ἐπῳδ.)
Δρομαίων πέσῃ
Πέδοσε, νεβρίδος ἔχων ἱερὸν ἔνδυτον, ἀγρεύων
Αἷμα τραγοκτόνον, ὠμόφαγον χάριν,
Ἱέμενος εἰς ὄρεα Φρύγια, Λύδια.
Ὁ δ' ἔξαρχος Βρόμιος, εὐοῖ!
Ῥεῖ δὲ γάλακτι πέδον, ῥεῖ δ' οἴνῳ, ῥεῖ δὲ μελισσᾶν
Νέκταρι, Συρίας δ' ὡς λιβάνου καπνός.
Ὁ Βακχεὺς δ' ἔχων
Πυρσώδη φλόγα πεύκας
Ἐκ νάρθηκος αἴσσει,
Δρόμῳ καὶ χοροῖς ἐρεθίζων πλανάτας,
Ἰαχαῖς τ' ἀναπάλλων,

---

Ταῦτά μοι δοκεῖ σαφέστερα εἶναι. ἡ δὲ θέσις τῶν ὀνομάτων ἐχέτω μάλιστα οὕτως· Ἔνθα οἱ τρικόρυθες Κορύβαντες εὗρόν (ἐφεῦρ Ȣ) μοι ) ἐν) ἄντροις τὸ



ἐκ βύρσης βακχικόν τουτί τύμπανον τὸ κυκλωτερὲς ἐφευρόντες, καὶ τὸ βαρύτονον αὐτοῦ ἡδυφθόγγῳ καὶ συντόνῳ αὐλῶν Φρυγίων συγκεράσαντες πνεύματι πρὸς βακχείαν, τῇ τῶν θεῶν παρέδωκαν μητρὶ, ἐφ' ᾧ καλλίκτυπον εἶναι πρὸς τοὺς ὕμνους τῶν Βακχῶν. Οἱ δὲ μαινόμενοι Σάτυροι, λαβόντες αὐτὸ παρὰ τῆς θεοῦ, συνέστησαν χοροὺς κατὰ τριετίαν, οἷς Διόνυσος ὡς μάλιστα τιμώμενος χαίρει.

Ὤ οἵα ἐστὶν ἡδονὴ καταλιπόντα τοὺς ἐν ὄρεσι δρομαίους θιάσους, κατιέναι ἐπὶ τὰ πεδία, καὶ νευρίδα ἱερὰν περικείμενον, ἀποκτείνειν ἐν θήρᾳ τράγον, τοῦτο δὴ τὸ ἥδιστον τοῖς ὠμοφάγοις θηρίοις, τά τε Φρύγια καὶ Λύδια ἐσέρχεσθαι ὄρη, ἡγουμένου Βρομίου, εὐοῖ, εὐάν· ἔνθα τὰ πεδία γάλακτι, οἴνῳ τε, καὶ νέκταρι μελισσῶν περικλύζεται· ἐκεῖ δὲ ὀσμὴ, ὡς λιβάνου Συρίας, ἥδιστον ἐκπνεῖ. Βάκχος δ' αὐτός, τὴν ἐπὶ τοῦ νάρθηκος διαῤῥιπίζων δᾷδα, δρόμῳ καὶ χοροῖς διεγείρει τοὺς πλανωμένους, ταῖς τε βακχικαῖς φωναῖς αὐτοὺς ἐμψυχῶν, καὶ τοὺς ἑαυτοῦ βοστρύχους ἀναλικμῶν

---

βυρσότονον τόδε κύκλωμα (τὸ τύμπανον)· 'Ανεκέρασαν δὲ τὰ ἡδυβόα Βάκχεια (ᾄσματα) συντόνῳ πνεύματι (πνοῇ) τῶν Φρυγίων αὐλῶν· ἔθηκάν τε εἰς χέρα τῆς μητρὸς Ῥέας, κτύπον τε ἐν ᾄσμασι (ὃ ἐστιν ἔκτυπον ἀντὶ τοῦ ἐκτύπουν, ἢ πρὸς κτύπον. 123. Ἡδὺς] τίς; ὅστις ἂν ᾖ ὁ βακχεύων οὕτως. 130. Νέκταρι] μέλιτι· τὸ δὲ καπνὸς, ἀντὶ ὀσμῆς ἁπλῶς εἴληπται.

Τρυφερὸν πλόκαμον ἐς αἰθέρα ῥίπτων·
Ἅμα δ' ἐπ' εὐάσμασιν ἐπιβρέμει
Τοιάδ'· ὦ ἴτε Βάκχαι,
Ὦ ἴτε Βάκχαι,
Τμώλου χρυσορόου χλιδᾷ,
Μέλπετε τὸν Διόνυσον
Βαρυβρόμων ὑπὸ τυμπάνων,
Εὔϊα τὸν εὔϊον ἀγαλλόμεναι θεὸν
Ἐν Φρυγίαισι βοαῖς ἐνοπαῖσί τε,
Λωτὸς ὅταν εὐκέλαδος
Ἱερὸς ἱερὰ παίγματα
Βρέμῃ, σύνοχα φοιτάσιν
Εἰς ὄρος, εἰς ὄρος· ἡδομένα δ' ἄρα,
Πῶλος ὅπως ἅμα ματέρι φορβάδι,
Κῶλον ἄγει ταχύπουν σκιρτήμασι Βάκχα.

ΤΕ. Τίς ἐν πύλαισι Κάδμον ἐκκαλεῖ δόμων,
Ἀγήνορος παῖδ', ὅς, πόλιν Σιδωνίαν
Λιπὼν, ἐπύργωσ' ἄστυ Θηβαίων τόδε;
Ἴτω τις, εἰσάγγελλε, Τειρεσίας, ὅτι
Ζητεῖ νιν· οἶδε δ' αὐτὸς, ὧν ἥκω πέρι,
Ἅ τε ξυνεθέμην πρέσβυς ὢν γεραιτέρῳ,
Θύρσους ἀνάπτειν καὶ νεβρῶν δορὰς ἔχειν,
Στεφανοῦν τε κρᾶτα κισσίνοις βλαστήμασιν.

ΚΑ. Ὦ φίλταθ', ὡς σὴν γῆρυν ἡδόμην κλύων,
Σοφὴν σοφοῦ παρ' ἀνδρὸς, ἐν δόμοισιν ὤν!
Ἥκω δ' ἕτοιμος, τήνδ' ἔχων σκευὴν θεοῦ.
Δεῖ γάρ νιν, ὄντα παῖδα θυγατρὸς ἐξ ἐμῆς,
Διόνυσον, ὃς πέφηνεν ἀνθρώποις θεὸς,
Ὅσον καθ' ἡμᾶς δυνατὸν, αὔξεσθαι μέγαν.
Ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα,



πρὸς τὸν αἰθέρα· ἐν δὲ τοῖς εὐάσμασιν ἑαυτοῦ ἀναβοᾷ τοιάδε· ἴτ', ὦ Βάκχαι, ἴτε ἡ τρυφὴ καὶ ἡ δόξα τοῦ χρυσοῤῥόου Τμώλου· ὑμνεῖτε Διόνυσον ἐν βαρυτόνοις τυμπάνοις, εὔϊα τὸν εὔϊον θεὸν ἐν Φρυγίοις εὐΐοις ἀναμέλπουσαι ᾄσμασιν, ὁπόθ' ὁ εὔφωνος αὐλὸς, ἱερὸς ἱερὰ μέλπει παίγνια εἰς τὸ ὄρος, εἰς τὸ ὄρος, συνῳδὰ ταῖς Μαινάσιν· ἡ δὲ Βάκχη ἡδομένη, ἕπεται σπουδῇ ποδὸς, ὥσπερ πῶλος τῇ μητρὶ, τοῖς τοῦ Βάκχου σκιρτήμασιν.

ΤΕ. Τίς ἂν ἀγγείλειε Κάδμῳ τῷ Ἀγήνορος ἔνδον τῷ ἐκ Φοινίκης ἐλθόντι, καὶ τὴν πόλιν ταύτην οἰκοδομησαμένῳ, ἐξελθεῖν δεῦρο; εἰσίτω τις ἐρῶν αὐτῷ, ὅτι Τειρεσίας αὐτὸν ζητεῖ ὧδε. οἶδε γὰρ αὐτὸς, ὧν ἕνεκα ἦλθον, καὶ ἃ γέρων γέροντι αὐτῷ συνεθέμην, θύρσους ἐξάπτειν, νεβρίδα τε περιβάλλεσθαι, καὶ τὴν κεφαλὴν κλάδοις στεφανοῦσθαι κισσίνοις.

ΚΑ. Ὦ φίλτατ' ἀνδρῶν ἁπάντων, ὡς ἡδέως τῆς σῆς σοφῆς φωνῆς ἀνδρὸς σοφοῦ ὄντος, μέχρι τῶν ἐνδοτάτω ὡς ἡμᾶς διηξάσης, ἀκήκοα· ἥκω δέ σοι ἕτοιμος, ὡς ὁρᾷς καὶ ἐσκευασμένος· δεῖ γὰρ δὴ Διόνυσον τὸν τῆς ἐμῆς θυγατρὸς παῖδα θεὸν ἀνθρώποις γεγενημένον, ὅσον γ' ἐφ' ἡμῖν, ἐπὶ μεῖζον αἴρεσθαι δόξης. ποῖ οὖν δεῖ χορεύειν, συχνὸν τὸν ἑαυτῶν εἱλίσσοντας πόδα,

---

143. Ἀγαλλόμεναι] τιμῶσαι, ἑορτάζουσαι. 150. Βάκχα] ἐν ἄλλοις κεῖται Βάκ-

Καὶ κρᾶτα σεῖσαι πολιόν; ἐξηγοῦ σύ μοι,
Γέρων γέροντι, Τειρεσία· σὺ γὰρ σοφός.
Ὡς οὐ κάμοιμ' ἂν οὔτε νύκτ', οὔθ' ἡμέραν,
Θύρσῳ κροτῶν γῆν· ἐπιλελήσμεθ' ἡδέως
Γέροντες ὄντες.

**ΤΕ.** Ταὐτά μοι πάσχεις ἄρα.
Κἀγὼ γὰρ ἡβῶ κἀπιχειρήσω χοροῖς.

**ΚΑ.** Οὐκοῦν ὄχοισιν εἰς ὄρος περάσομεν.

**ΤΕ.** Ἀλλ' οὐχ ὁμοίως ἂν ὁ θεὸς τιμὴν ἔχοι.

**ΚΑ.** Γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ·

**ΤΕ.** Ὁ θεὸς ἀμοχθεὶ κεῖσε νῷν ἡγήσεται.

**ΚΑ.** Μόνοι δὲ πόλεως Βακχίῳ χορεύσομεν;

**ΤΕ.** Μόνοι γὰρ εὖ φρονοῦμεν, οἱ ἄλλοι κακῶς.

**ΚΑ.** Μακρὸν τὸ μέλλειν· ἀλλ' ἐμῆς ἔχου χερός.

**ΤΕ.** Ἰδού, ξύναπτε καὶ ξυνωρίζου χέρα·

**ΚΑ.** Οὐ καταφρονῶ 'γὼ τῶν θεῶν, θνητὸς γεγώς.

**ΤΕ.** Οὐδὲν σοφιζώμεσθα τοῖσι δαίμοσιν.
Πατρίους παραδοχάς, ἅς θ' ὁμήλικας χρόνῳ
Κεκτήμεθ', οὐδεὶς αὐτὰ καταβάλλει λόγος,
Οὐδ' εἰ δι' ἄκρων τὸ σοφὸν εὕρηται φρενῶν.
Ἐρεῖ τις, ὡς τὸ γῆρας οὐκ αἰσχύνομαι,
Μέλλων χορεύειν, κρᾶτα κισσώσας ἐμόν;
Οὐ γὰρ διήρηχ' ὁ θεός, εἴτε τὸν νέον

---

χου, οὐ καλῶς. 167. Σὺ γὰρ σοφὸς] μάντις δ' ἦν Τειρεσίας, σοφός· τυφλὸς δὲ περὶ οὗ Ὅμηρος (Ὀδ. Κ. στίχ. 494.) Τῷ καὶ τεθνεῶτι νόον πόρε Περσεφόνεια οἴῳ πεπνύσθαι· τοίδε σκιαὶ ἀΐσσουσι. 174. Γέρων γέροντα] ἐν ἤθει ἀνα-



καὶ τὴν πολιὰν κεφαλὴν συμφώνως ἀνασείειν; αὐτός, ὦ Τειρεσία, σοφὸς γέρων ὤν, γέροντίμοι ἐξάρχου τῆς Βακχείας· οὐδὲ γὰρ κάμοιμι οὔτε νύκτ', οὔθ' ἡμέραν τὴν γῆν κροτῶν τῷ θύρσῳ· θαυμαστὸν γάρ τι ἤδη ἐοίκαμεν πάσχειν, ἡδέως ἐπιλαθόμενοι, ὅτι ἐσμὲν τοῦτ' αὐτὸ γέροντες.

**ΤΕ.** Ταὐτὸν ἔχεις κἀμὲ συμπεπονθότα· ἤδη γὰρ κἀγὼ προσηβᾷν μοιδοκῶ ἐξ ὑπαρχῆς, καὶ ἕτοιμός εἰμι χορεύειν.

**ΚΑ.** Οὐκοῦν ἐπιβάντες τοῦ ὀχήματος, ἀνύτωμεν εἰς τὸ ὄρος.

**ΤΕ.** Οὐμενουν· ἧττον γὰρ ἂν οὕτω θεὸς τιμῷτο.

**ΚΑ.** Πῶς δ' ἂν γέρων γέροντί σοι ἡγησαίμην;

**ΤΕ.** Θεὸς αὐτὸς ἀνεπαισθήτως ἡμᾶς ἐκεῖσε ἄξει.

**ΚΑ.** Μόνοι δὲ τῶν πολιτῶν χορεύσομεν ἐκείνῳ;

**ΤΕ.** Μόνοις γὰρ ἡμῖν πάρεστιν εὖ φρονεῖν.

**ΚΑ.** Οὐκοῦν ἔχου μου· μακρὰ γὰρ ἡ ἄγουσα.

**ΤΕ.** Ἰδούμοι ἡ χείρ· σὺδὲ σύναπτε συναλλήλας.

**ΚΑ.** Θνητὸς γὰρ ὤν, πῶς ἂν τῶν ἀθανάτων καταφρονοίην;

**ΤΕ.** Οὐ γὰρ δεῖ σοφίζεσθαι πρὸς τοὺς κρείττους. ἃ γὰρ ἄνωθεν τυγχάνομεν παραδεδεγμένοι παρὰ τῶν προγόνων, καὶ ἃ ἐφ' ἡμῶν αὐτῶν ὕστερον ἐσμὲν μεμαθηκότες, οὐδεὶς ἂν λόγος ἐξαρκέσειεν ἀνελεῖν, κἄντις εἰς ἄκρον σοφίας αὐχῇ ἐληλακέναι· ἀλλ' εἴποι τις ἄν, σὺ γέρων ἤδη ὤν, οὐκ αἰσχύνῃ χορεύειν, κισσῷ τὴν κάραν ἐστεμμένος; μὰ Δι' οὔ· οὐ γὰρ εἶπεν ὁ θεὸς διῤῥήδην, τίνας

---

γνωστέων, καὶ ἐν εἰρωνείᾳ· εἰμήτι ἐρωτηματίζειν δεῖ. 176. Πόλεως] τὸ περιέχον ἀντὶ τοῦ περιεχομένου. 178. Μακρὸν τὸ μέλλειν] πότερον, μακρὸν ἐν τούτοις τρίβομεν χρόνον, ἢ ἡ μέλλουσα ὁδὸς μακρὰ ἡμῖν ἐστι, καὶ διὰ τοῦτο

Ἐχρῆν χορεύειν, εἴτε τὸν γεραίτερον·
Ἀλλ' ἐξ ἁπάντων βούλεται τιμὰς ἔχειν
Κοινὰς, δι' ἀριθμῶν δ' οὐδὲν αὔξεσθαι θέλει.

ΚΑ. Ἐπεὶ σὺ φέγγος, Τειρεσία, τόδ' οὐχ ὁρᾷς,
Ἐγὼ προφήτης σοι λόγων γενήσομαι.
Πενθεὺς πρὸς οἴκους ὅδε διὰ σπουδῆς περᾷ,
Ἐχίονος παῖς, ᾧ κράτος δίδωμι γῆς.
Ὡς ἐπτόηται! τί ποτ' ἐρεῖ νεώτερον;

ΠΕ. Ἔκδημος ὢν μὲν τῆσδ' ἐτύγχανον χθονὸς,
Κλύω δὲ νεοχμὰ τήνδ' ἀνὰ πτόλιν κακὰ,
Γυναῖκες ἡμῖν δώματ' ἐκλελοιπέναι,
Πλασταῖσι βακχείαισιν, ἐν δὲ δασκίοις
Ὄρεσι θοάζειν, τὸν νεωστὶ δαίμονα
Διόνυσον, ὅστις ἐστὶ, τιμώσας χοροῖς·
Πλήρεις δὲ θιάσοις ἐν μέσοισιν ἑστάναι
Κρατῆρας, ἄλλην δ' ἄλλοσ' εἰς ἐρημίαν
Πτώσσουσαν εὐναῖς ἀρσένων ὑπηρετεῖν,
Πρόφασιν μὲν, ὡς δὴ Μαινάδας θυοσκόους,
Τὴν δ' Ἀφροδίτην πρόσθ' ἄγειν τοῦ Βακχίου.
Ὅσας μὲν οὖν εἴληφα, δεσμίους χέρας
Σώζουσι πανδήμοισι πρόσπολοι στέγαις·
Ὅσαι δ' ἄπεισιν, ἐξ ὄρους θηράσομαι,
Ἰνώ τ', Ἀγαυήν θ', ἥ μ' ἔτικτ' Ἐχίονι,

, οὐ χρὴ ἐνδιατρίβειν; τὸ δεύτερον ἔοικε. 190. Δι' ἀριθμῶν] εἰμή τι εἴληπται ἀντὶ τοῦ, εὐτιδανῶν (ἴδε Τρῳ. 480. Ἡρακ. 1000) διὰ ἠριθμημένων ἀνθρώπων, ἀλλ' ἐξ ἁπάντων ἁπλῶς. 199. Δασκίοις] ἢ κατὰ συγκοπὴν τοῦ δασυσκίοις, ἢ παρὰ τοῦ Δα ἐπιτατικοῦ καὶ τοῦ σκιὰ δάσκιος. 202 ἑστάναι κρατῆρας] ἀντὶ τοῦ τιθέναι· οὕτω γὰρ καὶ ἐν Ἴωνι· στίχ. 1180.



μὲν, τίνας δ' οὐ χρὴ χορεύειν, διελὼν καθ' ἡλικίαν· οὐ γὰρ ἀριθμῷ ἀνθρώπων ὡρισμένῳ, ἀλλ' ὑφ' ἁπάντων κοινῇ ἐφίεται τιμᾶσθαι.

ΚΑ. Τειρεσία· οὐ γὰρ αὐτὸς ὁρᾷς, τῆς ὄψεως ἐστερημένος· ἴσθι Πενθέα τὸν Ἐχίονος, ᾧ τὴν τῶν Θηβῶν ἐμπεπίστευκα ἀρχὴν, διὰ σπουδῆς δεῦρο ἥκοντα σὺν πτοήσει· τί ποτ' ἆρα νεώτερον ἔχει λέγειν;

ΠΕ. Ἐτύγχανον ἀποδημῶν ἐντεῦθεν χρόνον τινά· νῦν δ' ἅμα ἐλθὼν, εὑρίσκω πολὺν νεωτερισμὸν ἐν τῇ πόλει γεγενημένον· τὰς γὰρ ἡμετέρας φασὶ γυναῖκας, καταλιπούσας τὰς οἰκίας, καὶ Βάκχας μιμουμένας, τὸν νεωστὶ θεὸν θρυλλούμενον θοάζειν Διόνυσον, ὅστις εἴη οὗτος, χοροῖς τιμώσας ἐν ὄρεσι σκιαροῖς, καὶ πλήρεις κρατῆρας ἐν μέσοις ἱστάναι θιάσοις· ἄλλην δ' ἄλλοσ' ἐν ἐρήμῳ καταδυομένην, ἀνδρῶν θεραπεύειν εὐνάς· προφάσει μὲν, μαινάδας εἶναι θυοσκόπους· τὸ δ' ἀληθὲς, περὶ πλείονος Ἀφροδίτην ποιουμένας τοῦ Βάκχου· ἃς τοίνυν πατούτων τυγχάνω συνειληφὼς, ταύτας συνδήσας, παρέδωκα τοῖς ὑπηρέταις φυλάττειν ἐν τῷ δεσμωτηρίῳ· τὰς δὲ διαφυγούσας εἰς τὰ ὄρη αὐτίκα συλλήψομαι, Ἰνώ, Ἀγαυήν τε τὴν ἐμαυτοῦ μητέρα, καὶ Αὐτονόην,

» . . . . . Χρυσέους τ' ἐν μέσῳ συσσιτίῳ
» Κρατῆρας ἔστησε . . . . . . . . .
ὅμοιον δὲ καὶ τὸ ἐν Ἀλκήστιδι. στίχ. 1178.
» Χορούς ἐπ' ἐσθλαῖς συμφοραῖσιν ἱστάναι.
205. Θυοσκόους] παρὰ τὸ τὰς θυσίας κοεῖν, ὅ ἐστι, νοεῖν 238. Πτερωτοῦ]

Ἀκταίονός τε μητέρ', Αὐτονόην λέγω.
Καὶ σφᾶς σιδηραῖς ἁρμόσας ἐν ἄρκυσι,
Παύσω κακούργου τῆσδε βακχείας τάχα.
Λέγουσι δ', ὥς τις εἰσελήλυθε ξένος
Γόης, ἐπῳδὸς, Λυδίας ἀπὸ χθονὸς,
Ξανθοῖσι βοστρύχοισιν εὔκοσμος κόμην,
Οἰνωπὸς, ὄσσοις χάριτας Ἀφροδίτης ἔχων,
Ὃς ἡμέρας τε κεὐφρόνας ξυγγίγνεται,
Τελετὰς προτείνων εὐΐους νεάνισιν.
Εἰ δ' αὐτὸν εἴσω τῆσδε λήψομαι στέγης,
Παύσω κτυποῦντα θύρσον, ἀνασείοντά τε
Κόμας, τράχηλον σώματος χωρὶς τεμών.
Ἐκεῖνος εἶναί φησι Διόνυσος θεὸς,
Ἐκεῖνος ἐν μηρῷ ποτ' ἐῤῥάφη Διός·
Ὃς ἐκπυροῦται λαμπάσιν κεραυνίαις
Ξὺν μητρὶ, δίους ὅτι γάμους ἐψεύσατο.
Ταῦτ' οὐχὶ δεινῆς ἀγχόνης ἔστ' ἄξια,
Ὕβρεις ὑβρίζειν, ὅστις ἐστὶν ὁ ξένος;
Ἀτὰρ τόδ' ἄλλο θαῦμα, τὸν τερασκόπον
Ἐν ποικίλαισι νεβρίσι Τειρεσίαν ὁρῶ,
Πατέρα τε μητρὸς τῆς ἐμῆς, πολὺν γέλων,
Νάρθηκι βακχεύοντ'· ἀναίνομαι, πάτερ,
Τὸ γῆρας ὑμῶν εἰσορῶν νοῦν οὐκ ἔχον.
Οὐκ ἀποτινάξεις κισσόν; οὐκ ἐλευθέραν
Θύρσου μεθήσεις χεῖρ', ἐμῆς μητρὸς πάτερ;
Σὺ ταῦτ' ἔπεισας, Τειρεσία; τόνδ' αὖ θέλεις
Τὸν δαίμον' ἀνθρώποισιν εἰσφέρων νέον,
Σκοπεῖν πτερωτοὺς, κἀμπύρων μισθοὺς φέρειν;

SISMANOGLIO MEGARO



ἧς Ἀκταίων ἐγένετο παῖς· συλλαβὼν δὲ καὶ πέδαις συγκλείσας σιδηραῖς, ἀναγκάσω παραχρῆμα κακούργου βακχείας ἀποσχέσθαι· ἀκούω γὰρ τινὰ γόην, καὶ ἐπῳδὸν ἐκ Λυδίας παραγεγενῆσθαι, σιτόχρουν, καὶ ξανθοῖς διαπρέποντα βοστρύχοις, καὶ πολλὴν τὴν Ἀφροδίτην ἐν τοῖς ὄμμασι ἀποστίλβοντα· ὃς νύκτωρ καὶ μεθ ἡμέραν συγγίνεται νεάνισι, τελετὰς προτείνων αὐταῖς βακχικάς· ὃν εἴποτέγε χειρώσομαι, οὐκέτ' ἂν τὴν γῆν ἀράξειε τῷ θύρσῳ, οὔτε πρὸς τὸν αἰθέρα ἀνασείσειε τὴν κόμην, τὴν κεφαλὴν ὑπ' ἐμοῦ ἀφαιρεθείς· φησὶ γὰρ αὐτὸς Διόνυσος εἶναι, ἐν μηρῷ τῷ Διός ποτε συῤῥαφείς· ὃν ἴσμεν συμπεφλεγμένον τῇ ἑαυτοῦ μητρί, ἐφ' οἷς ἐκείνη ὁμιλίαν τοῦ Διὸς κατεψεύσατο· πῶς οὖν ταῦτ' οὐ σκληρᾶς ἀγχόνης ἐστὶν ἄξια, τοιαῦτ' ἐς τὴν πόλιν ἐξυβρίζειν, ὅστις εἴη ὁ ξένος οὗτος; Ἀλλὰ μεταξὺ λόγων τί τοῦθ' ὁρῶ ὀφθαλμοῖς ἕτερον αὖθις θαῦμα; Τειρεσίαν τὸν οἰωνοσκόπον στικτὴν νεβρίδα περιβεβλημένον, καὶ τὸν πατέρα τῆς ἐμαυτοῦ μητρὸς ἐκβακχεύοντα νάρθηκι; ὢ πολὺς γέλως! αἰσχύνομαι, πάτερ, ὁρῶν σε ἐν γήρᾳ βαθεῖ τῶν φρενῶν ὅλως ἐξεστηκότα· οὐκ ἀποσείσῃ σεαυτοῦ τὸν κισσόν; οὐκ ἀποβαλεῖς τὸν θύρσον ἐκ τῆς χειρός; σὺ διδάσκαλος τούτων εἶ, Τειρεσία; ἧπού γε θεὸν εἰσφέρων ἀνθρώποις νέον, νέους μισθοὺς σκοπεῖς ἐξ οἰωνῶν καὶ ἐμπύρων πορίζεσθαι. ἀλλὰ χάριν

---

οἰωνούς. περὶ δὲ τῶν ἐμπύρων ἴδε Φοίν. στίχ. 1270. 256. τὰ πρῶτα] πότε.

Εἰ μή σε γῆρας πολιὸν ἐξεῤῥύετο,
Καθῆσ' ἂν ἐν Βάκχαισι δέσμιος μέσαις,
Τελετὰς πονηρὰς εἰσάγων· γυναιξὶ γὰρ
Ὅπου βότρυος ἐν δαιτὶ γίγνεται γάνος,
Οὐχ ὑγιὲς οὐδὲν ἔτι λέγω τῶν ὀργίων.

ΧΟ. Τῆς εὐσεβείας! ὦ ξέν', οὐκ αἰδεῖ θεοὺς
Κάδμον τε, τὸν σπείραντα γηγενῆ στάχυν;
Ἐχίονος δ' ὢν παῖς, καταισχύνεις γένος;

ΤΕ. Ὅταν λάβῃ τις τῶν λόγων ἀνὴρ σοφὸς
Καλὰς ἀφορμὰς, οὐ μέγ' ἔργον εὖ λέγειν·
Σὺ δ' εὔτροχον μὲν γλῶσσαν, ὡς φρονῶν, ἔχεις,
Ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες.
Θρασὺς δέ, δυνατὸς καὶ λέγειν οἷός τ' ἀνὴρ,
Κακὸς πολίτης γίγνεται, νοῦν οὐκ ἔχων.
Οὗτος δ' ὁ δαίμων ὁ νέος, ὃν σὺ διαγελᾷς,
Οὐκ ἂν δυναίμην μέγεθος ἐξειπεῖν ὅσος
Καθ' Ἑλλάδ' ἔσται· δύο γὰρ, ὦ νεανία,
Τὰ πρῶτ' ἐν ἀνθρώποισι, Δημήτηρ θεὰ,
(Γῆ δ' ἐστίν· ὄνομα δ', ὁπότερον βούλει, κάλει)
Αὕτη μὲν ἐν ξηροῖσιν ἐκτρέφει βροτούς·
Ὁ δ' ἦλθεν ἐπὶ τἀντίπαλον, ὁ Σεμέλης γόνος,
Βότρυος ὑγρὸν πόμ' εὗρε κεἰσηνέγκατο
Θνητοῖς, ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
Λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς,
Ὕπνον τε, λήθην τῶν καθ' ἡμέραν κακῶν,
Δίδωσιν, οὐδ' ἔστ' ἄλλο φάρμακον πόνων.

---

ρεν, πρῶτοι θεοὶ ὡς χρήσιμοι παρ' ἀνθρώποις, ἢ οἱ τὰ πρῶτα καὶ ἀναγκαῖα.



ἔχε τῷ γήρᾳ, ὃ ἐξαιρεῖταί σε. τάχα γὰρ ἂν ἐν μέσαις ταῖς Βάκχαις καθήμενος δέσμιος, πονηρὰς ἐκείναις εἰσηγοῦ τελετάς· ὅπου γὰρ ὁ οἶνος εἰς ἑστίασιν γυναῖκας ἀθροίζει, οὐδὲν ὑγιὲς ἔμοιγε τῶν τοιούτων ὀργίων.

ΧΟ. Πρός τε τοὺς θεοὺς, ὦ ξένε, ἀσεβῶν ἐξελέγχῃ, καὶ Κάδμον αὐτὸν οὐκ αἰδούμενος, ὃς ἀνθρώπους ἐκ γῆς ἀναφῦναι ἐποίησεν· ἐῶ δὲ λέγειν, ὅτι Ἐχίονος παῖς γεγονὼς, καταισχύνεις τὸ γένος αὐτοῦ, οἷς πράττεις.

ΤΕ. Ἀνδρὶ νουνεχεῖ, καλὰς ἀφορμὰς τῶν λόγων εὑρόντι, ῥάδιον τὸ εὖ λέγειν· σοὶ δὲ ἡ μὲν γλῶσσά ἐστιν εὔστροφος, ὡς φρονοῦντος· οἱ δὲ λόγοι ὄζουσιν ἀφροσύνης· ἀνὴρ γὰρ θρασὺς, καὶ δύναμιν ἔχων, καὶ λέγειν δεινὸς, μάστιξ γίγνεται τοῖς πολίταις, ἐνδεὴς ὢν φρενῶν· ὁ γὰρ νέος οὗτος θεὸς, ὁ παρὰ σοῦ χλευαζόμενος, οὐκ ἔσθ' ὅπως ἐξερῶ σοι, ὅσος μέγας ἔσται ἀνὰ πᾶσαν τὴν Ἑλλάδα· δύο γὰρ, ὦ οὗτος, θεοὶ τὰ πρῶτα πρὸς εὐδαιμονίαν τοῖς ἀνθρώποις πρεσβεύονται παρασχεῖν, Διόνυσός τε καὶ Δήμητρα, ἢ ἄλλως ἡ Γῆ, ἣν καὶ οὕτω βούλῃ καλεῖν ἐκείνην· ἡ μὲν γὰρ τὴν ξηρὰν τροφὴν τοῖς ἀνθρώποις παρέχει· ὁ δὲ τῆς Σεμέλης κλεινὸς γόνος τὸ ὑγρὸν προσεπόρισεν, πόμ' ἐκ βότρυος αὐτοῖς ἐφευρὼν καὶ προσενεγκάμενος· ὃ πινόμενον, ἀπαλλάττει αὐτοὺς πάσης λύπης καὶ ταλαιπωρίας, καὶ ὕπνον, τοῦτο δὴ τὸ λήθην πάντων τῶν κακῶν, ἐμποιοῦν, καὶ μόνον τῶν πόνων γενόμενον φάρμακον, δίδωσιν· ὁ αὐτὸς δὲ, θεὸς ὢν, ἐν

---

παρασχόντες ἀνθρώποις; τὸ δεύτερον μᾶλλον. 260, Πόμα] ἡ ἄλλη γάνος βό-

SISMANOGLIO

Οὗτος θεοῖσι σπένδεται θεὸς γεγὼς,
Ὥστε διὰ τοῦτον τἀγάθ᾽ ἀνθρώπους ἔχειν.
Καὶ καταγελᾷς νιν, ὡς ἐνεῤῥάφη Διὸς
Μηρῷ. διδάξω σ᾽, ὡς καλῶς ἔχει τόδε.
Ἐπεί νιν ἥρπασ᾽ ἐκ πυρὸς κεραυνίου
Ζεὺς, ἐς δ᾽ Ὄλυμπον βρέφος ἀνήγαγεν νέον,
Ἥρα νιν ἤθελ᾽ ἐκβαλεῖν ἀπ᾽ οὐρανοῦ·
Ζεὺς δ᾽ ἀντεμηχανήσαθ᾽, οἷα δὴ θεός.
Ῥήξας μέρος τι τοῦ χθόν᾽ ἐγκυκλουμένου
Αἰθέρος, ἔθηκε, τόνδ᾽ ὅμηρον ἐκδιδοὺς
Διόνυσον Ἥρας νεικέων· χρόνῳ δέ νιν
Βροτοὶ ταφῆναί φασιν ἐν μηρῷ Διὸς,
Ὄνομα μεταστήσαντες, ὅτι θεᾷ θεὸς
Ἥρᾳ πόθ᾽ ὡμήρευσε, συνθέντες λόγον.
Μάντις δ᾽ ὁ δαίμων ὅδε. τὸ γὰρ βακχεύσιμον
Καὶ τὸ μανιῶδες μαντικὴν πολλὴν ἔχει
Ὅταν γὰρ ὁ θεὸς ἐς τὸ σῶμ᾽ ἔλθῃ πολὺς,
Λέγειν τὸ μέλλον τοὺς μεμηνότας ποιεῖ.
Ἄρεώς τε μοῖραν μεταλαβὼν ἔχει τινά.
Στρατὸν γὰρ ἐν ὅπλοις ὄντα κἀπὶ τάξεσιν
Φόβος διεπτόησε, πρὶν λόγχης θίγειν·
Μανία δὲ καὶ τοῦτ᾽ ἐστὶ Διονύσου πάρα.
Ἔτ᾽ αὐτὸν ὄψει κἀπὶ δελφίσιν πέτραις
Πηδῶντα σὺν πευκαισι δικόρυφον πλάκα,
Βάλλοντα καὶ σείοντα βακχεῖον κλάδον,

---

τρυος λέγει. γράφεται δὲ καὶ πῶμα. 265. Σπένδεται] προσφέρεται ἐν σπονδαῖς τοῖς θεοῖς· διὰ γὰρ οἴνου γίγνεται ἡ σπονδὴ εὐτυχίας ἕνεκα. 277. ὄνομα μεταστήσαντες] μεταβαλόντες κατὰ παρονομασίαν τὸ, ὅμηρος εἰς τὸ, μη-



σπονδαῖς τοῖς θεοῖς προσφερόμενος, αἰτία γίγνεται τοῦ πάντα τἀγαθὰ ἐγγίνεσθαι τοῖς ἀνθρώποις· ᾧ αὐτὸς τολμᾷς ἐγγελᾶν, ὡς τῷ τοῦ Διὸς ἐνεῤῥάφη μηρῷ· ἀλλ᾽ ἴσθι σύγε, ὡς καλῶς τοῦτο ἔχει· ἐπειδὴ γὰρ ὁ Ζεὺς ἀναρπάσας τὸ βρέφος ἐκ μέσων φλογῶν, ἀνήγαγεν αὐτὸ εἰς τὸν Ὄλυμπον· ἡ δὲ Ἥρα ζηλοτυπήσασα, ἐβούλετο ἐκβαλεῖν ἐκεῖν᾽ ἐκεῖθεν, ἐμηχανήσατο, οἷα δὴ θεὸς, τρόπον ἕτερον σωτηρίας ἐκείνῳ· διαῤῥήξας γὰρ μέρος τι τοῦ περὶ τὴν γῆν αἰθέρος, ἐνέθηκεν ἐκεῖνον ὅμηρον αὐτὸν ἐκδοὺς τῆς ζηλοτυπίας τῆς Ἥρας. Ἐκ τούτου τοίνυν ἐῤῥέθη παρὰ τοῖς ἀνθρώποις Διόνυσον τραφῆναι ἐν τῷ μηρῷ τοῦ Διὸς, παραμορφώσασι τοὔνομα τῷ θεὸν θεᾷ τῇ Ἥρα ποτὲ ὁμηρεῦσαι· ἔστι δ᾽ οὗτος καὶ μάντις· τῷ γὰρ βακχεύειν καὶ μαίνεθαι πολὺ τῆς μαντικῆς ἐνυπάρχει· ἐπειδὰν γὰρ ὁ θεὸς πολὺς τοῖς ἡμετέροις σώμασιν εἰσρυεὶς, ἐγκρατὴς αὐτῶν γένηται, ποιεῖ τοὺς ἐνθουσιόντας προγιγνώσκειν τὰ μέλλοντα· οὐ μὴν ἀλλ᾽ οὐδὲ στρατιωτικῆς ἀρετῆς ἀποκλείεται, πολλῶν πολλάκις στρατῶν ἐν παρατάξεσι διαπτοηθέντων τῷ φόβῳ· μανία γάρ τις καὶ ὁ φόβος ἐστὶν ἐμπνεόμενος παρὰ Διονύσου. Πρὸς δὲ τούτοις οὐκ ἐς μακρὰν ὄψει αὐτὸν ἐπὶ τῶν ὀρέων τῶν Δελφῶν διαπηδῶντα, καὶ σείοντα τῇ μὲν ταῖν χαιροῖν τὸν βάκχιον κλάδον, τῇ δὲ τῷ νάρθηκι

---

ρός. ἔστι δὲ παρονομασία παρὰ τοῖς Ῥήτορσι μικρὰ μεταβολὴ τῆς λέξεως, καὶ παρακολουθία ἄλλης τινὸς ὁμοίας. Ὅμηρον δέ φησι τῶν τῆς Ἥρας νεικέων, ὅτι παρδέωκεν αὐτὸν αὐτῇ (Ἥρα γὰρ παρὰ τὸ Ἀνήρ) ἵνα μηκέτι φιλονεικῇ περὶ αὐτοῦ. 288. Πεύκαισι] ταῖς δᾳσὶ ταῖς ἐπὶ τοῦ νάρθηκος· τὸ δὲ Πλάκα τὴν γῆν ἐννοεῖ, δικόρυφον δὲ, ὅτι τοιοῦτος ἐστι Παρνασός. ἴδε Φοιν. στίχ. 234. 267.

Μέγαν τ' ἀν' Ἑλλάδ'. ἀλλ' ἐμοὶ, Πενθεῦ, πιθοῦ.
Μὴ τὸ κράτος αὔχει δύναμιν ἀνθρώποις ἔχειν,
Μηδ', ἢν δοκῇς μὲν, ἡ δὲ δόξα σου νοσεῖ,
Φρονεῖν δόκει τι· τὸν θεὸν δ' ἐς γῆν δέχου,
Καὶ σπένδε, καὶ βάκχευε, καὶ στέφου κάρα.
Οὐχ ὁ Διόνυσος σωφρονεῖν ἀναγκάσει
Γυναῖκας ἐς τὴν Κύπριν, ἀλλ' ἐν τῇ φύσει
Τὸ σωφρονεῖν ἔνεστιν ἐς τὰ πάντ' ἀεί.
Τοῦτο σκοπεῖν χρή· καὶ γὰρ ἐν βακχεύμασιν
Οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.
Ὁρᾷς; σὺ χαίρεις, ὅταν ἐφεστῶσιν πύλαις
Πολλοὶ, τὸ Πενθέως δ' ὄνομα μεγαλύνῃ πόλις·
Κἀκεῖνος, οἶμαι, τέρπεται τιμώμενος.
Ἐγὼ μὲν οὖν καὶ Κάδμος, ὃν σὺ διαγελᾷς,
Κισσῷ τ' ἐρεψόμεσθα, καὶ χορεύσομεν,
Πολιὰ ξυνωρὶς, ἀλλ' ὅμως χορευτέον,
Κοὐ θεομαχήσω, σῶν λόγων πεισθεὶς ὕπο.
Μαίνῃ γὰρ ὡς ἄλγιστα, κοὔτε φαρμάκοις
Ἄκη λάβοις ἂν, οὔτ' ἄνευ τούτων νοσεῖς.

ΧΟ. Ὦ πρέσβυ, Φοῖβόν τ' οὐ καταισχύνεις λόγοις,
Τιμῶν τε Βρόμιον σωφρονεῖς, μέγαν θεόν.

ΚΑ. Ὦ παῖ, καλῶς σοι Τειρεσίας παρῄνεσεν·
Οἴκει μεθ' ἡμῶν, μὴ θύραζε τῶν νόμων.

---

Σωφρονεῖν] ἐν ἄλλοις κεῖται, μὴ σωφρονεῖν. καλὸν μὲν ἴσως τῇ τοῦ λόγου ἐννοίᾳ, προσκόπτει δὲ τῷ μέτρῳ· εἴγ' ὁ δεύτερος ποὺς γίνεται ἀνάπ[αισ]τος, ὅ ἐστιν. ἴσος κατὰ χρόνον τῷ σπονδείῳ· εὐοδοῖτ' ἂν μᾶλλον, εἰ ἐγ[έγραπτο] οὕτω·
« Οὐ Διόνυσος μὴ σωφρονεῖν ἀναγκάσει. »



βάλλοντα τὸν δικόρυφον Παρνασσόν· καὶ τελευτῶν μέγαν τὸν Διόνυσον ἀνὰ πᾶσαν τὴν Ἑλλάδα γεγενημένον. Ἀλλ' ὦ Πενθεῦ, πείθου μοι· καὶ μήτε τὴν ἀρχὴν, ἐφ' ᾗ ἐπιστηρίζῃ, νόμιζε δύναμιν ἔχειν· μήτε τὴν φρόνησιν, ἣν δοκεῖς ἔχειν, ὑγιᾶ σοι καὶ ἄνοσον εἶναι· δέχου δὲ τὸν θεὸν εἰς τὴν σεαυτοῦ ἀρχὴν, σπένδων, καὶ βακχεύων, καὶ στεφάνοις κωμῶν· μήδ' ἐκεῖνο βλασφήμει, ὡς Διόνυσος ἀναγκάσει τὰς γυναῖκας λαγνεύειν, ἐγγενόμενος αὐταῖς· τὸ γὰρ σῶφρον αὐταῖς καὶ μὴ σῶφρον οὐκ ἔξωθεν, εὖ ἴσθι αὐτὸς, προσγίγνεσθαι πέφυκεν, ἀλλὰ τῇ φύσει αὐτῶν ἐνυπάρχει· ᾗ γὰρ ἂν αὐτῶν ἐνῇ τὸ σώφρον' εἶναι, αὕτη γε οὐδ' ἐν βακχεύμασιν διαφθείρεται. Ὥσπερ τοίνυν αὐτὸς ἀγάλλῃ, μυρίους ὅσους ὁρῶν πρὸς τὰς σαυτοῦ θύρας φοιτῶντας, καὶ πᾶσαν τὴν πόλιν τὸ Πενθέως μεγαλύνοντας ὄνομα· οὕτω κἀκεῖνον νόμιζε τιμώμενον τέρπεσθαι. Ἐμὲ μὲν οὖν, καὶ Κάδμον τουτονὶ, ὃν διαγελᾷς, ὁρᾷς, ὅπως ἐσμὲν ἐσκευασμένοι, ἕτοιμοί τε κισσῷ στεφανωθέντες χορεῦσαι· καίτοι γὰρ ἄμφω πολιοὶ, ἀλλ' ὅμως χορευτέον· οὐ γὰρ ἂν δύναιο τοῖς σαυτοῦ με πεῖσαι λόγοις πρὸς θεὸν φανερὸν διαμιλλᾶσθαι· μαίνῃ γὰρ, ὦ δύστυνε σύ γ', ἐλεεινῶς, καὶ οὔτε φαρμάκοις ἂν ὑγιάναις, οὔτε χήτει φαρμάκων τῇ νόσῳ νῦν κατέχῃ.

ΧΟ Γέρον σεβαστὲ, αὐτόν τε Φοῖβον εὖ τιμᾷς οἷς λέγεις, καὶ τὸν βρόμιον μέγαν ἡγούμενος θεὸν, σώφρονος ἀνδρὸς ἔργον πράττεις.

ΚΑ. Τέκνον Πενθεῦ, ἅ σοι νενουθέτηται παρὰ Τειρεσίου τουτουΐ, ἀνδρὸς σοφοῦ καὶ πρεσβύτου οὐκ ἂν εἴποις

Νῦν γὰρ πέτῃ τε, καὶ φρονῶν οὐδὲν φρονεῖς.
Κεἰ μὴ γάρ ἐστιν ὁ θεὸς οὗτος, ὡς σὺ φῂς,
Παρὰ σοὶ λεγέσθω· καὶ καταψεύδου καλῶς,
Ὡς ἔστι, Σεμέλη θ' ἵνα δοκῇ θεὸν τεκεῖν,
Ἡμῖν τε τιμὴ παντὶ τῷ γένει προσῇ.
Ὁρᾷς τὸν Ἀκταίωνος ἄθλιον μόρον;
Ὃν ὠμόσιτοι σκύλακες, ἃς ἐθρέψατο,
Διέσπασαν, τὸν κρείσσον' ἐν κυναγίαις
Ἀρτέμιδος εἶναι κομπάσαντ', ἐν ὀργάσιν.
Ὃ μὴ πάθῃς σὺ, δεῦρό σου στέψω κάρα
Κισσῷ· μεθ' ἡμῶν τῷ θεῷ τιμὴν δίδου.
ΠΕ. Οὐ μὴ προσοίσεις χεῖρα, βακχεύσεις δ' ἰὼν,
Μηδ' ἐξομόρξῃ μωρίαν τὴν σὴν ἐμοί.
Τῆς σῆς δ' ἀνοίας τόνδε τὸν διδάσκαλον
Δίκη μέτειμι. Στειχέτω τις, ὡς τάχος,
Ἐλθὼν δὲ θάκους τούσδ', ἵν' οἰωνοσκοπεῖ,
Μοχλοῖς τριαίνου, κἀνάτρεψον ἔμπαλιν,
Ἄνω κάτω τὰ πάντα συγχέας ὁμοῦ,
Καὶ στέμματ' ἀνέμοις καὶ θιέλλαισιν μέθες.
Μάλιστα γάρ νιν δήξομαι δράσας τάδε.
Οἱ δ' ἀνὰ πόλιν στείχοντες, ἐξιχνεύσατε
Τὸν θηλύμορφον ξένον, ὃς εἰσφέρει νόσον
Καινὴν γυναιξὶ, καὶ λέχη λυμαίνεται.
Κἄνπερ λάβητε, δέσμιον πορεύσατε
Δεῦρ' αὐτὸν, ὡς ἂν λευσίμου δίκης τυχὼν,
Θάνῃ, πικρὰν βάκχευσιν ἐν Θήβαις ἰδών.
ΤΕ. Ὦ σχέτλι', ὡς οὐκ οἶσθα, ποῦ ποτ' εἶ λόγων.

SISMANOGLIO MEGARO



μὴ καλῶς ἔχειν σοι· στῆθι τοίνυν μέθ' ἡμῶν, τοὺς τοῦ θεοῦ δεξάμενος νόμους· ὁρῶ γὰρ σὲ νῦν ἐν τῷ δοκεῖν φρονεῖν φρονοῦντα μηδὲν, ἀλλ' ὅλως ἱπτάμενον· καὶ ἄλλως γάρ σοι καλῶς ἔχει ὁμολογεῖν τὸν θεὸν, κἂν μὴ ᾖ, ὡς φῂς αὐτὸς, θεὸς, καὶ καλῶς καταψεύδεσθαι Σεμέλης, ὅπως, δοκούσης αὐτῆς θεὸν τεκεῖν, ἡμῖν τ' αὐτοῖς καὶ παντὶ τῷ γένει ἡμῶν τιμὴ παρὰ πάντων ἀνθρώπων προσγίγνηται· ὁρᾷς δὲ καὶ τὸν Ἀκταίωνος θάνατον, ὑπὸ τῶν ἑαυτοῦ καὶ ὑπ' αὐτοῦ ἀνατραφεισῶν κυνῶν ἐν ταῖς κοιλάσι τῶν ὀρέων διασπασθέντα, ἐφ' οἷς ἐγαυρία ὑπερτερεῖν Ἀρτέμιδος ἐν κυνηγεσίοις; ἵν' οὖν μὴ πάθῃς ταὐτὸ, δεῦρο στέψω σου τὴν κεφαλὴν τῷ κισσῷ τουτωΐ, καὶ στὰς μεθ' ἡμῶν, ἀπόδίδου τὴν τιμὴν τῷ θεῷ προσηκόντως.

ΠΕ. Πόῤῥω ἀπ' ἐμοῦ· μηδὲ θιγεῖν μου ὅλως· ἴθι δὲ ἐκβάκχευε, εἰ τοῦτό σοι ἡδὺ, ἐμοὶ δ' οὐκ ἂν τὴν σαυτοῦ προστρίψειας μωρίαν· τῆς δὲ ἀνοίας τῆς σῆς τὸν διδάσκαλον τουτονὶ, αὐτίκα ἐπέξειμι· ἴτω τις, ὅσον τάχος, ἔνθ' οὗτος καθήμενος οἰωνοσκοπεῖ, τάςθ' ἕδρας αὐτοῦ ἀναστρέψων μοχλοῖς, καὶ τἄλλα πάνθ' ὁμοῦ ἄνω καὶ κάτω ποιήσων, τὰ δὲ στέμματα αὐτοῦ ἀνέμοις τε καὶ θυέλλαις παραδώσων μετέωρα φέρεσθαι· τούτῳ γὰρ δηχθήσεται μάλιστα· οἱ δ' αὖ ἀνὰ τὴν πόλιν ἰόντες, ζητεῖτε πανταχοῦ τὸν θηλυδριῶντα ἐκεῖνον ξένον· ὃς νόσον δεινὴν εἰσαγαγὼν γυναιξὶ, τὸ σῶφρον ἐκείνων ἀφείλετο· εὑρόντες δ' αὐτὸν, καὶ περιαγαγόντες τὼ χεῖρε, ἄγετε δέσμιον, ὡς λαΐῳ χιτῶνι ἀποθανούμενον, πικρᾶς τῆς ἐν Θήβαις ἀπονάμενον ἐκβακχεύσεως.

ΤΕ. Σχέτλιε σύγε, ποῦ εἶ; οὐδ' οἶσθα ὅλως ἐρεσχελῶν τοιαῦ-

Μέμηνας· ἤδη καὶ πρὶν ἐξέστης φρενῶν.
Στείχωμεν ἡμεῖς, Κάδμε, κἀξαιτώμεθα
Ὑπέρ τε τούτου, καίπερ ὄντος ἀγρίου,
Ὑπέρ τε πόλεως, τὸν θεὸν μηδὲν νέον
Δρᾶν. ἀλλ' ἕπου μοι κισσίνου βάκτρου μέτα·
Πειρῶ δ' ἀνορθοῦν σῶμ' ἐμὸν, κἀγὼ τὸ σόν·
Γέροντε δ' αἰσχρὸν δύο πεσεῖν· ἴτω δ' ὅμως.
Τῷ Βακχίῳ γὰρ τῷ Διὸς δουλευτέον.
Πενθεὺς δ', ὅπως μὴ πένθος εἰσοίσει δόμοις
Τοῖς σοῖσι, Κάδμε, μαντικὴν μὲν οὐ λέγω
Τοῖς πράγμασιν δέ· μῶρα γὰρ μῶρος λέγει.

ΧΟ. Ὁσία, πότνα θεῶν· (Στρ. ά.)
Ὁσία δ', ἃ κατὰ γᾶν
Χρυσέαν πτέρυγα φέρεις,
Τάδε Πενθέως ἀΐεις,
Ἀΐεις οὐχ ὁσίαν
Ὕβριν ἐς τὸν Βρόμιον,
Τὸν Σεμέλας, τὸν παρὰ καλλιστεφάνοις εὐφροσύναις
Δαίμονα πρῶτον μακάρων; ὃς τάδ' ἔχει,
Θιασεύειν τε χοροῖς,
Μετά τ' αὐλοῦ γελάσαι,
Ἀποπαῦσαί τε μερίμνας,
Ὁπόταν βότρυος ἔλθῃ
Γάνος ἐν δαιτὶ θεῶν,
Κισσοφόροις δ' ἐν θαλίαις ἀνδράσι κρατὴρ ὕπνον ἀμφιβάλλῃ.

340. Ἤδη, καὶ πρὶν] πότερον, καὶ πρὶν εἴτ' οὖν πρῴην μέμηνας, ἢ μέμηνας καὶ ἐ-



τα· μέμηνας ἤδη, καὶ πάλαι ἐκστὰς τῶν φρενῶν· χωρῶμεν δ' ἡμεῖς, ὦ Κάδμε, ὑπέρτε τούτου, καίτοι ἀκάμπτου ὄντος, καὶ ὑπὲρ τῆς πόλεως αὐτῆς κοινῇ τὸν θεὸν αἰτησόμενοι, μηδὲν κακὸν δρᾶσαι. Ἴωμεν κισσίνῳ τε ἐρειδόμενοι βάκτρῳ, καὶ δι' ἀλλήλων ἐν βαδίσματι ἀνορθούμενοι· δύο γὰρ γέροντας καταπεσεῖν συμβαδίζοντας, αἰσχρὸν μὲν ἴσως τοῦτο, ἀλλ' οὖν ἔστω· δεῖ γὰρ δὴ δουλεύειν τῷ Βάκχῳ καὶ παιδὶ τοῦ Διός· ὁ δὲ ἄθλιος Πενθεὺς σκοπείτω, ὅπως μὴ πένθος τῇ σῇ, ὦ Κάδμε, ἐποίσει οἰκίᾳ· τοῦτο δ' οὖν οὐ μαντευόμενός φημι, ἀλλ' ἐξ ὧν αὐτὸς πράττει, εἰκάζων· πᾶν γὰρ τὸ μωρὸν ἐκ μωροῦ ἐξέρχεται στόματος.

ΧΟ. Ὁσία πότνια θεῶν· σὲ δὲ καλῶ τὴν κατὰ γῆν ἀοράτοις πτέρυξι περιϊπταμένην· ἀκούεις, οἷά φησι Πενθεύς; ἀκούεις, οἷα ἐξυβρίζει εἰς τὸν Βρόμιον τὸν Σεμέλης, τὸν πρῶτον τῶν μακάρων ἐν καλλιστεφάνοις ἑστιάσεσι δαίμονα; τούτου γὰρ ἔργα ἀνθρώπους χοροῖς θιασεύειν, ἐν αὐλοῖς καὶ ᾠδαῖς εἰς γέλωτα κινεῖν, φροντίδας καταπαύειν, ὁπότ' ἐν μὲν ταῖς τῶν θεῶν ἑστιάσεσιν ἡδονὴ ἐκ βότρυος ἔλθῃ, ἐν δὲ ταῖς τῶν ἀνθρώπων κισσοφόροις θαλίαις ὁ κρατὴρ ὕπνον αὐτοῖς ἐμβάλῃ.

ξέστης τῶν φρενῶν, πρὶν ἐκ τοῦ Βάκχου μανῆναι; ἴσως τὸ δεύτερον. 351. Ὁσία] οὐσιαστικὸν ἐκλαμβάνεσθαι τοῦτο δοκεῖ, ὡς τὸ δίκη, νέμεσις, καὶ τὰ τοιαῦτα ὃ καὶ οὐδετέρως λέγεται, τὸ Ὅσιον· ἴδε καὶ Ἰφ. Ταυ στίχ. 1169. τὸ δὲ ἐπιφερόμενον. Ὁσίαδ', γράφειν λέγουσι τινὲς Ἀσιάδ'· ἵνα ᾖ, ἃ κατὰ γῆν Ἀσιάδα- 353. Χρυσέαν πτέριγα φέρεις] χρύσεα πτερὰ ἐν ἄλλοις κεῖται, καὶ τὸ μέτρον ἐστὶν ὀρθότερον. 364. Κισσοφόροις] πότερον, πρὸς τὸ θαλίαις, ἢ πρὸς τὸ ἀνδράσι

Ἀχαλίνων στομάτων, (Ἀντ. ά.)
Ἀνόμου τ' ἀφροσύνας
Τὸ τέλος δυστυχία.
Ὁ δὲ τᾶς ἡσυχίας
Βίοτος καὶ τὸ φρονεῖν
Ἀσαλευτόν τε μένει,
Καὶ συνέχει δῶμα· πρόσω γὰρ, ἀλλ' ὅμως αἰθέρα ναί-
Οντες, ὁρῶσιν τὰ βροτῶν οὐρανίδαι.
Τὸ σοφὸν δ' οὐ σοφία,
Τό, τε μὴ θνητὰ φρονεῖν.
Βραχὺς αἰών· ἐπὶ τούτῳ
Δὲ τίς ἂν, μεγάλα διώκων,
Τὰ παρόντ' οὐχὶ φέροι;
Μαινομένων οἵδε τρόποι, καὶ κακοβούλων παρ' ἔμοιγε
φωτῶν.
Ἱκοίμαν ποτὶ τὰν Κύπρον, (Στρ. β'.)
Νᾶσον τᾶς Ἀφροδίτας,
Ἵνα θελξίφρονες νέμον—
Ται θνατοῖσιν Ἔρωτες·
Πάφον θ', ἂν ἑκατόστομοι
Βαρβάρου ποταμοῦ ῥοαὶ
Καρπίζουσιν ἄνομβρον·
Χῶπου καλλιστευομένα

---

συντακτέον; πρὸς ὁπότερον βούλει. 373. Τὸ σοφόν.] τοῦ Πενθέως καθάπτεται ὧδε. οὗτος γὰρ ὡς σοφός τις, οὐκ ἐδέχετο τὸν Βάκχον, ὑπέρθνητα φρονῶν φησὶ τοίνυν, ὁ σοφὸς οὐ σοφὸς τῷ ὄντι, ὑπὲρ ἄνθρωπον φρονῶν, ὁπόθ' ἡ ζωὴ αὐτοῦ ἐςὶ περιωρισμένη ἐν χρόνῳ βραχεῖ· ἐν ᾧ, εἴτις μεγάλα διώκει καὶ φρονεῖ, ἐκπίπτει καὶ τῶν ἐν χερσί· διὸ θνητοὺς αὐτοὺς ὄντας, ὑπείκειν δεῖ τοῖς ἀθανάτοις, μικρὰ καὶ θνητὰ φρονοῦντας. ἴδε ἀνωτέρω. ςίχ. 199. 383. Πάφον] πόλις αὕτη ἐν Κύπρῳ τῇ νήσῳ, ἀφιερωμένη τῇ Ἀφροδίτῃ. καί τοι τινὲς βούλονται γράφειν Φάρον· τὸ δὲ ἑκατόστομοι ῥοαὶ, τὸ ἀπὸ πολλῶν ῥυάκων



Γλώττης γὰρ μὴ κρατεῖν, καὶ περὶ τοὺς νόμους αὐθαδιάζεσθαι ὀλέθριον ἔχει τέλος· τὸ δὲ ἡσύχως βιοῦν, καὶ τὸ εὖ φρονεῖν ἔξω σάλου παντὸς εἰσὶ, καὶ ςήριγμα γίγνονται οἴκου· οἱ γὰρ θεοὶ, καίτοι πόῤῥω ἀφ' ἡμῶν ἐν οὐρανῷ κατοικοῦσιν, ἀλλ' οὖν ἐφορῶσι κἀκεῖθεν τὰ γιγνόμενα τοῖς ἀνθρώποις· τὸ γὰρ σοφὸν οὐ σοφὸν, ὑπερβάλλον τοὺς ὅρους, ὥστ' ἀθάνατα φρονεῖν· βραχὺς γὰρ θνητοῖς ὁ ἀγών· πῶς οὖν τις, νοῦν ἔχων, οὐκ ἂν ἀγαπῴη ἐν τούτῳ τοῖς παροῦσιν, ἀλλὰ διώκοι τὰ μεγάλα; Ἐατέον οὖν τὰ ὑπέρσοφα ταῦτα μαινομένοις καὶ κακοβούλοις, ὡς ἂν ἔγωγε φαίην, ἀνδράσιν.

Εἴθ' ἀφικοίμην εἰς Κύπρον, τὴν τῆς Κύπριδος νῆσον, ἔνθ' ἐρώτων θέλγητρα τρέφονται θνητοῖς· εἴθε ἴδοιμι καὶ τὴν Πάφον, ἣν ἄνομβρον οὖσαν, βάρβαρος ποταμὸς ἀρδεύει, ἑκατὸν προχεόμενος ςόμασιν· εἴθε γε-

---

ἐπιῤῥεόντων συνίστασθαι τὸν ποταμὸν τοῦτον τὸν βάρβαρον καὶ ἀνήμερον ἂν δηλοίη, εἴτις τῷ ὄντι εἴη ποταμὸς τοιοῦτος ἐκεῖσε. τὸ δὲ, Ἄνομβρον αὖθις, ὃ ἐν ἄλλοις κεῖται, Ἄνομβροι πρὸς τὸ ῥοαὶ διὰ τὸ ἄνομβρον μάλις' ἐν Κύπρῳ, οὗ σπάνιος ὁ ὄμβρος. 386. Χῶπου] οὕτω μᾶλλον, ἢ Ὅπου, ὡς ἐν ἄλλοις κεῖται, καὶ τὸ μέτρον ἄμεινον οὕτως, ἵνα μεταστήσωμεν τοὺς βακχεύοντας ἀπὸ τῆς Πάφου ἐπὶ τὸν τῆς Ἑλλάδος Ὄλυμπον, (καί τοι καὶ ἐν Κύπρῳ λέγεταί τις Ὄλυμπος εἶναι ὡς παρὰ Στράβωνι, Βιβ. ΙΔ'. σελ. 682.) φανερὸν δὲ κἀκ τῆς Πιερίας. ὅπερ καὶ τοῦτο γραπτέον ἂν εἴη μᾶλλον Πιερίᾳ ἐν δοτικῇ. Ἀλλὰ τί κοινὸν ἂν εἴη Βάκχαις καὶ Μούσαις; καὶ πολύ γε. πρῶτον μὲν γὰρ, δικορύφου ὄντος τοῦ Παρνασοῦ (ἴδε ἀνωτέρω ςιχ. 307.) τὸ ἕτερον μέρος Διόνυσος ἔχει· δεύτερον δὲ καὶ τῷ Ἀπόλλωνι πολὺ συμφέρεται ὁ θεὸς οὗτος, διά τε τὸν κισσὸν, τοὺς ὄφεις, τὸ μαντικόν· καὶ γὰρ,

» Μάντις δ' ὁ δαίμων ὅδε· τὸ γὰρ βακχεύσιμον
» Καὶ τὸ μανιῶδες μαντικὴν πολλὴν ἔχει.
» Ὅταν γὰρ ὁ θεὸς εἰς τὸ σῶμ' ἔλθῃ πολὺς,
» Λέγειν τὸ μέλλον τοὺς μεμηνότας ποιεῖ.

Πιερία μούσειος ἕδρα,
Σεμνὰ κλιτὺς Ὀλύμπου.
Ἐκεῖσ᾽ ἄγε με, Βρόμιε, Βρόμιε,
Προβακχήϊε δαῖμον.
Ἐκεῖ χάριτες ἐκεῖ δὲ πόθος·
Ἐκεῖ δὲ Βάκχαισι θέμις ὀργιάζειν.
Ὁ δαίμων, ὁ Διὸς παῖς (Ἀντ. β΄.)
Χαίρει μὲν θαλίαισιν,
Φιλεῖ δ᾽ ὀλβοδότειραν Εἰ-
Ρήναν, κουροτρόφον θεάν.
Ἴσαν δ᾽ εἴς τε τὸν ὄλβιον,
Τόν τε χείρονα δῶκ᾽ ἔχειν
Οἴνου τέρψιν ἄλυπον·
Μισεῖ δ᾽, ᾧ μὴ ταῦτα μέλει,
Κατὰ φάος, νύκτας τε φίλας
Εὐαίωνα διαζῆν·
Σοφὰν δ᾽ ἀπέχειν πραπίδα, φρένα τε,
Περισσῶν παρὰ φωτῶν.
Τὸ πλῆθος ὅτι τε φαυλότερον
Ἐνόμισε, χρῆταί τε, τόδε τοι λέγοιμ᾽ ἄν.

## ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΘΕΡΑΠΩΝ, ΠΕΝΘΕΥΣ, ΔΙΟΝΥΣΟΣ, ΧΟΡΟΣ.

ΘΕ. Πενθεῦ, πάρεσμεν, τήνδ᾽ ἄγραν ἠγρευκότες,



νοίμην, ἔνθ᾽ ἐςὶ Πιερία καὶ τὸ σεμνὸν τοῦ Ὀλύμπου νάπος, ἐν οἷς ἐστιν ὁ Μουσῶν κάλλιςος θρόνος. Ἀλλ᾽ ὦ Βρόμιε, Βρόμιε, ὁ τῶν Βακχῶν θεὸς, ἐκεῖ ἄγε με· ἐκεῖ εἰσιν αἱ χάριτες, ἐκεῖ δ᾽ ὁ πόθος, ἐκεῖ δὲ θέμις ὀργιάζειν τὰς Βάκχας.

Ὁ γὰρ παῖς τοῦ Διὸς χαίρει μὲν ἑστιάσεσι, φιλεῖ δὲ τὴν πλουτοδότειραν Εἰρήνην, τὴν σεμνὴν κουροτρόφον θεόν· ἀπὸ δὲ τοῦ ἴσου ἀπονέμει τῷ τε πλουσίῳ καὶ πένητι τῆς τοῦ οἴνου μετέχειν ἡδονῆς τε καὶ τέρψεως πρὸς διασκέδασιν λύπης· μισεῖ δὲ, εἴ τις τούτων καταφρονῶν, μὴ ἐθέλοι νύκτωρ καὶ μεθ᾽ ἡμέρας εὐδαιμόνως διάγειν· ἀλλ᾽ ὅτι ἀπὸ τῶν περισσῶν καὶ ἀλαζόνων ἀνθρώπων ἀφιστᾷ τὴν ἑαυτοῦ σοφὴν γνώμην· τὸ δὲ πλῆθος ἐνόμισε μετριοφρονέςερον, καὶ χρῆταί γ᾽ αὐτῷ, σάφ᾽ οἶδ᾽ ἔγωγε τοῦτο.

## ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΘΕΡΑΠΩΝ, ΠΕΝΘΕΥΣ, ΔΙΟΝΥΣΟΣ, ΧΟΡΟΣ.

ΘΕ. Πενθεῦ, πάρεστιν ὁ θὴρ ὅδε, ἐφ᾽ ὃν ἔπεμψας ἡμᾶς θη-

Ἴδε ἀνωτέρω ςίχ, 300. 403. Σοφάν δ᾽ ἀπέχειν] ἐν ἄλλοις, σοφὸν· σκοτινὰ ταῦτα διὰ τὴν ἔλλειψιν· εἴη δ᾽ ἂν ἀναπληρωτέα ὧδι· σοφον δὲ παρ᾽ αὐτῷ τῷ θεῷ ἀφιςᾶν καὶ καρδίαν καὶ ψυχὴν ἀπὸ τῶν τοιούτων ὑπερσόφων καὶ ἀλαζόνων, χρῆσθαι δὲ τῷ πλήθει, ὃ ἁπλούςερόν τε καὶ εὐαγωγότερον εὗρεν. 405. Ὅτι τε] ἐν ἄλλοις κεῖται, Ὅτι τό· ἀλλα καὶ τὸ Ἐνόμισε, Ἐνόμισσεν κεῖται ἐν ἄλλοις· ἐμοὶ δὲ δοκεῖ δεῖν γράφειν, Νόμισσε, Χρῆταί τε· συνᾴδει γὰρ μέτρῳ

SISMANOGLIO

Ἐφ' ἣν ἔπεμψας, οὐδ' ἄκρανθ' ὡρμήσαμεν.
Ὁ θὴρ δ' ὅδ' ἡμῖν πρᾶος, οὐδ' ὑπέσπασεν
Φυγῇ πόδ', ἀλλ' ἔδωκεν οὐκ ἄκων χέρας,
Οὐδ' ὠχρὸς, οὐδ' ἤλλαξεν οἰνωπὸν γένυν,
Γελῶν δὲ καὶ δεῖν κἀπάγειν ἐφίετο,
Ἔμενέ τε, τοὐμὸν εὐπρεπὲς ποιούμενος.
Κἀγὼ δι' αἰδοῦς εἶπον. Ὦ ξέν', οὐχ ἑκὼν
Ἄγω σε, Πενθέως δ', ὅς μ' ἔπεμψ', ἐπιστολαῖς·
Ἃς δ' αὖ σὺ Βάκχας εἶρξας, ἃς ξυνήρπασας
Κἄδησας ἐν δεσμοῖσι πανδήμου στέγης,
Φροῦδαί γ' ἐκεῖναι λελυμέναι πρὸς ὀργάδας
Σκιρτῶσι, Βρόμιον ἀνακαλούμεναι θεόν.
Αὐτόματα δ' αὐταῖς δεσμὰ διελύθη ποδῶν,
Κλῇδές τ' ἀνῆκαν θύρετρ' ἄνευ θνητῆς χερός.
Πολλῶν δ' ὅδ' ὡνὴρ θαυμάτων ἥκει πλέως
Ἐς τάσδε Θήβας· σοὶ δὲ τἄλλα χρὴ μέλειν.

ΠΕ. Λάζυσθε χειρῶν τοῦδ'. ἐν ἄρκυσιν γὰρ ὢν,
Οὐκ ἔστιν οὕτως ὠκὺς, ὥστε μ' ἐκφυγεῖν.
Ἀτὰρ τὸ μὲν σῶμ' οὐκ ἄμορφος εἶ, ξένε,
Ὡς ἐς γυναῖκας, ἐφ' ὅπερ ἐς Θήβας πάρει·
Πλόκαμός τε γάρ σου ταναὸς, οὐ πάλης ὕπο,
Γένυν παρ' αὐτὴν κεχυμένος, πόθου πλέως·
Λευκὴν δὲ χροιὰν ἐς παρασκευὴν ἔχεις,
Οὐχ ἡλίου βολαῖσιν, ἀλλ' ὑπὸ σκιᾶς,
Τὴν Ἀφροδίτην καλλονῇ θηρώμενος.
Πρῶτον μὲν οὖν μοι λέξον, ὅστις εἶ γένος.

---

τῷ, Ἐκεῖ δὲ Βάκχαισι, τῷ ἐν τῇ στροφῇ ἀνωτέρω στίχ. 415. 413. Εὐτρεπὲς] ἐν



ρασομένους· οὐ γὰρ ἄπρακτοι τῶν ἐντεταλμένων τυγχάνομεν ἐπανήκοντες· τὸ δὲ θαυμαστὸν, ὅτι πράως παρέδωκεν ἡμῖν ἑαυτὸν, οὔτε δρασμὸν βουλευσάμενος ὀντινοῦν, οὔτ' ὠχριάσας, οὔθ' ὅλως τὴν εὐειδῆ ἐξαλλάξας μορφήν· ἀλλ' ὑπομειδιῶν δεῖν ἑαυτὸν καὶ ἀπάγειν ἐκέλευε, καὶ παρέμενεν, οἷον ἡδονὴν καὶ κόσμημα ἑαυτῷ τιθέμενος τὸ πραττόμενον· ὥς' ἐγὼ αἰδεσθεὶς, εἶπον αὐτῷ, οὐκ ἐγὼ, ὦ ξένε, ἀλλὰ Πενθεὺς, ὁ ταῦτα κελεύσας με πρᾶξαι, οὗτος ἀπάγεταί σε· ἃς δ' αὖ Βάκχας αὐτὸς συλλαβὼν, καθείρξας ἐν δεσμοῖς, αὗται τῶν δεσμῶν ἐκλυθεῖσαι, ἀνασκιρτῶσιν ἤδη περὶ τὰς ὀργάδας, τὸν Βρόμιον ὑμνοῦσαι θεόν· τά τε γὰρ δεσμὰ αὐτόματα ἐξέπεσον αὐταῖς τῶν ποδῶν, καὶ αἱ θύρες, μηδενὸς θιγόντος, ἀφ' ἑαυτῶν ἠνεῴχθησαν· καὶ τέλος, θαυμάτων μεστὸς ἐστιν ὁ ἀνὴρ οὗτος, ἃ νῦν ἥκε θήβαζε φέρων· ταῦτα μὲν παρ' ἐμοῦ· τὸ δὲ λοιπόν σε δεῖ τούτων φροντίδα ἔχειν·

ΠΕ. Δράξασθε τούτου· ἐν δεσμοῖς γὰρ ὢν, οὐκ ἂν φύγοι με· σὺ δ', ὦ ξένε, ὡς καλὸς ἡμῖν τάγε περὶ τὸ εἶδος φαίνῃ, καὶ ὅλως πρὸς γυναῖκας εὖ διατεθειμένος, ὧν ἕνεκα εἰς Θήβας ἦλθες· βόστρυχος γάρ οὗτός σοι εὐτραφὴς, οὐχ ὡς ἐκ τῆς παλαίστρας, ἀλλ' ἠρέμα καθειμένος ἐπὶ τὴν γένυν, καὶ πολύγ' ἀποστίλβων τὸ ἐπαφρόδιτον· λευκὴν δὲ τὴν χροιὰν ἐκ παρασκευῆς ἔχεις, ὡς οὐχ ὑφ' ἥλιον, ἀλλ' ὑπὸ σκιὰν τεθραμμένος, κάλλει τὴν Ἀφροδίτην θηρώμενος· λέγε τοίνυν πρῶτον, ποδαπὸς εἶ· εἶθ' οὕτω καὶ τἄλλα ἀνιστορῶμεν.

SISMANOGLIO

ΔΙ. Οὐ κόμπος οὐδείς· ῥᾴδιον δ' εἰπεῖν τόδε·
Τὸν ἀνθεμώδη Τμῶλον οἶσθά που κλύων;
ΠΕ. Οἶδ', ὃς τὸ Σάρδεων ἄστυ περιβάλλει κύκλῳ.
ΔΙ. Ἐντεῦθεν εἰμὶ, Λυδία δέ μοι πατρίς.
ΠΕ. Πόθεν δὲ τελετὰς τάσδ' ἄγεις ἐς Ἑλλάδα;
ΔΙ. Διόνυσος ἡμᾶς εἰσέβησ', ὁ τοῦ Διός.
ΠΕ Ζεὺς δ' ἔστ' ἐκεῖ τις, ὃς νέους τίκτει θεούς;
ΔΙ. Οὔκ· ἀλλ' ὁ Σεμέλην ἐνθάδε ζεύξας γάμοις.
ΠΕ. Πότερα δὲ νύκτωρ σ', ἢ κατ' ὄμμ', ἠνάγκασεν;
ΔΙ. Ὁρῶν ὁρῶντα, καὶ δίδωσιν ὄργια.
ΠΕ. Τὰ δ' ὄργι' ἐστὶ τίν' ἰδέαν ἔχοντά σοι;
ΔΙ. Ἄῤῥητ' ἀβακχεύτοισιν εἰδέναι βροτῶν.
ΠΕ. Ἔχει δ' ὄνησιν τοῖσιν θύουσιν τινά;
ΔΙ. Οὐ θέμις ἀκοῦσαί σ', ἔστι δ' ἄξι' εἰδέναι.
ΠΕ. Εὖ τοῦτ' ἐκιβδήλευσας, ἵν' ἀκοῦσαι θέλω.
ΔΙ. Ἀσέβειαν ἀσκοῦντ' ὄργι' ἐχθαίρει θεοῦ.
ΠΕ. Τὸν θεὸν ὁρᾶν γὰρ φὴς σαφῶς, ποῖός τις ἦν;
ΔΙ. Ὁποῖος ἤθελ'· οὐκ ἐγὼ 'τασσον τόδε.
ΠΕ. Τοῦτ' αὖ παρωχέτευσας εὖ, κοὐδὲν λέγων.
ΔΙ. Δόξει τις ἀμαθεῖ, σοφὰ λέγων, οὐκ εὖ φρονεῖν.
ΠΕ. Ἦλθες δὲ πρῶτα δεῦρ', ἄγων τὸν δαίμονα;
ΔΙ. Πᾶς ἀναχορεύει βαρβάρων τάδ' ὄργια.
ΠΕ. Φρονοῦσι γὰρ κάκιον Ἑλλήνων πολύ.
ΔΙ. Τάδ' εὖ γε μᾶλλον· οἱ νόμοι δὲ διάφοροι.

---

ἄλλοις κεῖται εὐπρεπές. 434. εἰσέβησ',] ἐν ἄλλοις, εὐσέβησε. 441. Σεμέλης] γραπτέον, Σεμέλην, ὡς ἐν ἄλλοις κεῖται ἢ μεταβλητέον τὸ γάμοις, εἰς τὸ γάμους· 442. Ἠνάγκασε] ἴσως Ἐνήγισεν. 448. Ἐκιβδήλευσας] ἐσοφίσω, ὅπως



ΔΙ. Εἰ τοῦτ' ἐφίεσαι μαθεῖν, ἄκουσον ἀληθῆ καὶ ἁπλᾶ μου παρεγομένου· οἶσθα ἴσως τὸν ἀνθεμόεντα Τμῶλον ἀκηκοώς.
ΜΕ. Τὸν τὰς Σάρδεις φὴς περιβάλλοντα κύκλῳ.
ΔΙ. Ἐκεῖθέν εἰμι· Λυδία δέ μοι πατρίς.
ΠΕ. Ἃς δὲ τελετὰς εἰσάγεις ἡμῖν πόθεν ἔχεις μαθών;
ΔΙ. Διόνυσός με ὁ Διὸς ἐξεδίδαξε.
ΠΕ. Ἕτερός τις Ζεὺς ἐστὶν ἐκεῖ, θεοὺς νέους τίκτων;
ΔΙ. Οὔκ', ἀλλ' ὃς ἐνταῦθα ὡμίλησε Σεμέλῃ.
ΠΑ. Πότερον δὲ ἐν ὕπνοις, ἢ ὕπαρ ἐδίδαξέ σε;
ΔΙ. Ἐγρηγοροῦντα δήπου· καὶ τὰ ὄργια δέδωκέ μοι.
ΠΕ. Τίνα δέ εἰσι τὰ μυστήρια ταῦτα;
ΔΙ. Ἄῤῥητά γε τοῖς μὴ μεμυημένοις.
ΠΕ. Τίνα δ' ὄνησιν ἔχει τοῖς παραδεχομένοις;
ΔΙ. Ἄξιον μὲν τοῦτ' εἰδέναι, ἀλλ' οὐ θέμις σοί γ' ἀκοῦσαι.
ΠΕ. Τέχνῃ σοφίζῃ τοὐμὸν περίεργον διεγεῖραι.
ΔΙ. Τοὺς ἀσεβεῖς φημι τὰ ὄργια οὐ προσίεται ὅλως.
ΜΕ. Ποῖος δ' ὁ θεὸς τὸ εἶδος, ἐπειδὴ ὁρᾷς ἐκεῖνον;
ΔΙ. Ὁποῖος ἐκεῖνος θέλει· οὐ γὰρ ἐμὸν τοῦθ' ὁρίσαι.
ΠΕ. Κύκλῳ αὖ περιστρέφῃ, κοὐδὲν ἁπλοῦν παρέχῃ.
ΑΙ. Οὐδὲν θαυμαστὸν, σοφὰ πρὸς μὴ σοφὸν εἰπόντα, δοκεῖν ἄσοφον εἶναι· μῦρον γὰρ δοχεῖον σαπρὸν οὐ πιστεύεται.
ΠΕ Ἐνταῦθα πρῶτον τὸν θεὸν ἧκες ἄγων;
ΔΙ. Πᾶσι βαρβάροις κοινὸν τὸ ὀργιάζειν.
ΠΕ. Κάκιον γὰρ φρονοῦσι πολλῷ τῶν Ἑλλήνων.
ΔΙ. Μὰ Δί', ἀλλὰ κρεῖττον ἐν τούτοις· οἱ δὲ νόμοι διάφοροι

ΠΕ. Τὰ δ' ἱερὰ νύκτωρ, ἢ μεθ' ἡμέραν, τελεῖς;
ΔΙ. Νύκτωρ τὰ πολλά· σεμνότητ' ἔχει σκότος.
ΠΕ. Τοῦτ' ἐς γυναῖκας δόλιόν ἐστι καὶ σαθρόν.
ΔΙ. Κἀν ἡμέρᾳ τό γ' αἰσχρὸν ἐξεύροι τις ἄν.
ΠΕ. Δίκην σε δοῦναι δεῖ σοφισμάτων κακῶν.
ΔΙ. Σὲ δ' ἀμαθίας γε κἀσεβοῦντ' ἐς τὸν θεόν.
ΠΕ. Ὡς θρασὺς ὁ Βάκχος κοὐκ ἀγύμναστος λόγων!
ΔΙ. Εἴφ' ὅ,τι παθεῖν δεῖ· τί με τὸ δεινὸν ἐργάσῃ;
ΠΕ. Πρῶτον μὲν ἁβρὸν βόστρυχον τεμῶ σέθεν.
ΔΙ. Ἱερὸς ὁ πλόκαμος· τῷ θεῷ δ' αὐτὸν τρέφω.
ΠΕ. Ἔπειτα θύρσον τόνδε παράδος ἐκ χεροῖν·
ΔΙ. Αὐτός μ' ἀφαιροῦ· τόνδε Διονύσου φορῶ.
ΠΕ. Εἱρκταῖσί τ' ἔνδον σῶμα σὸν φυλάξομεν.
ΔΙ. Λύσει μ' ὁ δαίμων αὐτὸς, ὅταν ἐγὼ θέλω.
ΠΕ. Ὅταν γε καλέσῃς αὐτὸν, ἐν Βάκχαις σταθείς;
ΔΙ. Καὶ νῦν ἃ πάσχω, πλησίον παρὼν ὁρᾷ.
ΠΕ. Καὶ ποῦ 'στιν; οὐ γὰρ φανερὸς ὄμμασίν γ' ἐμοῖς.
ΔΙ. Παρ' ἐμοί· σὺ δ' ἀσεβὴς αὐτὸς ὢν, οὐκ εἰσορᾷς.
ΠΕ. Λάζυσθε, καταφρονεῖ με καὶ Θήβας ὅδε.
ΔΙ. Αὐδῶ με μὴ δεῖν, σωφρονῶν οὐ σώφροσιν.
ΠΕ. Ἐγὼ δὲ δεῖν γε, κυριώτερος σέθεν.
ΔΙ. Οὐκ οἶσθ' ὅ τι ζῇς, οὐδ' ὃ δρᾷς, οὐθ' ὅς τις εἶ.
ΠΕ. Πενθεὺς, Ἀγαυῆς παῖς, πατρὸς δ' Ἐχίονος.
ΔΙ. Ἐνδυστυχῆσαι τοὔνομ' ἐπιτήδειος εἶ.
ΠΕ. Χώρει· καθείρξατ' αὐτὸν ἱππικαῖς πέλας

ἐκ πλείονος πόθου βουλοίμην ἀκοῦσαι ταῦτα. 478. Οὐκ οἶσθ' ὅ,τι ζῇς] γραπτέον.



ΠΕ. Νύκτα δ', ἢ μεθ' ἡμέραν ὀργιάζεις;
ΔΙ. Νύκτωρ τὰ πολλά· σεμνότερον γὰρ τὸ σκότος.
ΠΕ. Καὶ γὰρ ἀνυσιμώτερον τοῦτο πρὸς τὴν Κύπριν.
ΔΙ. Κἀν φωτὶ τὰ αἰσχρὰ πράττοι τις ἂν ῥαδίως.
ΠΕ. Ὀφείλεις δοῦναι δίκην τῶνδε τῶν σοφισμάτων.
ΔΙ. Σὺ δ' ἀμαθείας καὶ ἀσεβείας μᾶλλον.
ΠΕ. Ὡς τολμηρὸς ὁ Βάκχος καὶ δεινότατος λέγειν.
ΔΙ. Τί με δεῖ παθεῖν; λέγε μοι τοῦτο πρῶτον.
ΠΕ. Τὸν βόστρυχόν σε τὸν ἁβρὸν ἀποκαρῆναι τοῦτον.
ΔΙ. Ἀλλ' ἱερὸς ἐσθ' οὗτος τῷ Διονύσῳ.
ΠΕ. Ἔπειτα τῆς σῆς χειρὸς ἀποβαλεῖν τὸν θύρσον.
ΔΙ. Αὐτὸς ἀφελοῦ ἐλθών· τοῦ γὰρ θεοῦ καὶ οὗτος.
ΠΕ. Σὺ δὲ καθειρχθήσῃ ἐν τῷ δεσμωτηρίῳ.
ΔΙ. Ῥᾶσθ' ὁ θεὸς με λύσει, ὅταν ἐγὼ θελήσω.
ΠΕ. Μάλισθ', ὅταν ἐν Βάκχαις αὐτὸν ἐπικαλέσῃ.
ΔΙ. Ὁρᾷ γ' ἐκεῖνος παρὼν καὶ νῦν, ἃ πάσχω.
ΠΕ. Καὶ ποῦ ἔστιν, ὃν ἐγὼ οὐκ ἔχω βλέπειν;
ΔΙ. Ὧδε παρ' ἐμοὶ, ἀφανὴς τοῖς ἀσεβέσι.
ΠΑ. Δήσατε· οὗτος γὰρ ὑβρίζει ἐμέ τε καὶ τὰς Θήβας.
ΔΙ. Φρονῶν πρὸς μὴ φρονοῦντα ἀπέχεσθαί μου λέγω.
ΠΕ. Οὐκ, ἀλλὰ δήσω· σοῦ γὰρ κρείττων πολλῷ τυγχάνω.
ΔΙ. Σὺ δ' οὐδ' εἰ ζῇς οἶδα, οὐδ' ὅστις εἶ γινώσκεις.
ΠΕ. Πενθεὺς αὐτὸς ὁ Ἀγαυῆς καὶ Ἐχίονος γόνος.
ΔΙ. Ἄξιος τῷ ὄντι φερώνυμος γενέσθαι.
ΠΕ. Χώρει· καθείρξατε δ' ὑμεῖς αὐτὸν πρὸς τῇ φάτνῃ τῶν

οὐκ οἶσθ', ὅτι ζῇς. 481. Ἐπιτήδειος] ὡς εἰ ἔλεγε, Πενθεὺς ὤν, πένθος ἐκ-

Φάτναισιν, ὡς ἂν σκότιον εἰσορᾷ κνέφας.
Ἐκεῖ χόρευε· τάσδε δ', ἃς ἄγων πάρει,
Κακῶν ξυνεργοὺς ἢ διεμπολήσομεν,
Ἢ, χεῖρα δούπου τοῦδε καὶ βύρσης κτύπτου
Παύσας, ἐφ' ἱστοῖς δμωΐδας κεκτήσομαι.

ΔΙ. Στείχοιμ' ἄν· ὅ,τι γὰρ μὴ χρεὼν, οὔτοι χρεὼν
Παθεῖν· ἀτάρ τοι τῶνδ' ἄποιν' ὑβρισμάτων
Μέτεισι Διόνυσός σ', ὃν οὐκ εἶναι λέγεις·
Ἡμᾶς γὰρ ἀδικῶν, κεῖνον ἐς δεσμοὺς ἄγεις.

ΧΟ. * * * * (Στρ.)
Ἀχελῴου θύγατερ,
Πότνι', εὐπάρθενε Δίρκα,
Σὺ γὰρ ἐν σαῖς ποτε παγαῖς τὸ Διὸς βρέφος ἔλαβες,
Ὅτε μηρῷ πυρὸς ἐξ ἀθανάτου Ζεὺς
Ὁ τεκὼν ἥρπασέ νιν, τάδ' ἀναβοήσας·
Ἴθ', ὦ Διθύραμβ' ἐμὰν ἄρ-
Σενα τάνδε βᾶθι νηδύν·
Ἀναφανῶ σε τόδ', ὦ Βάκχιε, Θήβαις ὀνομάζειν.
Σὺ δέ μ', ὦ μάκαιρα Δίρκα,
Στεφανηφόρους ἀπωθῇ
Θιάσους ἔχουσαν ἐν σοί.
Τί μ' ἀναίνῃ; τί με φεύγεις;
Ἔτι, ναὶ τὰν βοτρυώδη Διονύσου χάριν οἴνας,
Ἔτι σοι τοῦ Βρομίου μελήσει.
Οἵαν οἵαν ὀργὰν (Ἀντ.)

---

θεῖν ἐπιτήδειος εἴ. 493. Ἀχελῴου θύγατερ] ὁ πρῶτος στίχος τοῦ χοροῦ τούτου



ἵππων, ἵν' ἥδιον ἐκεῖ ἐν σκότῳ διατελῇ χορεύων. Περὶ δὲ τῶν συμπρακτόρων καὶ κακουργῶν τουτωνὶ, ἃς αὐτὸς ἧκες ἄγων, ἔπειτα καθ' ἡσυχίαν βουλευσόμεθα ὅ,τι δεῖ παθεῖν· δυοῖν γὰρ θάτερον, ἢ ἀπεμπολεῖν αὐτὰς δεῖ, ἢ ἀφελόντα τὸ τύμπανον καὶ τἄλλα, ἀναγκάσαι ἐργάζεσθαι οἴκοι τοῖς ἱστίοις.

ΔΙ. Πείθομαι· πῶς γὰρ ἄν τις πάθοι, ὃ ἂν μὴ ᾖ πεπρωμένον; σὺ δ' οὐκ ἐς μακρὰν ἀξίαν δίκην τίσεις τῶνδε Διονύσῳ, ὃν φὴς μὴ ὑπάρχειν. ἐμὲ γὰρ δοκῶν ἀδικεῖν, εἰς ἐκεῖνον ἐξυβρίζεις.

ΧΟ. [Ὦ καλλίστη κρηνῶν] πότνια καλλιπάρθενε Δίρκη, θύγατερ Ἀχελῴου· σὺ γὰρ ἐν ταῖς σαυτῆς πηγαῖς τὸ τοῦ Διὸς ἀνέλαβες βρέφος· ὅτ' ἐκεῖνος ἀναρπάσας αὐτὸ τοῦ πυρὸς, ἀνεβόησε ταῦτα· Ἄγ' ὦ διθύραμβε, καταδύου εἰς τὴν ἄῤῥενα ταύτην νηδύν· ἐγὼ δὲ διδάξω Θήβας ταυτασὶ Βάκχον σὲ ὀνομάζειν. Σὺ δ', ὦ μακαρία Δίρκη, ἀποστρέφῃ με, θιάσους φέρουσαν ἐστεμμένους· τίποτ' ἀπωθῇ με; τί δὲ καί με φεύγεις; ἀλλ' ἔσθ' ὅτε, ναὶ μὰ τὴν χάριν τὴν ἐκ τῆς ἀμπέλου, ἔσθ' ὅτε μελήσει σοι τοῦ Βάκχου.

Οἵαν, οἵαν ὀργὴν ἐκπνεῖ τὸ τῆς γῆς τοῦτο γάνος,

---

ἐξέλιπεν ὅλως· ἀλλ' οὐκ ἀφυῶς τις ἐνεπλήρωσε τοῦτο, γράψας εἰκασία. Ὦ καλλίστα κρανῶν. ἡγεῖται γὰρ τοῦτο καταλλήλως τοῖς ἑπομένοις. 495. Ὅτε μηρῷ] ἀνακόλουθα ταῦθ', οἷς εἴρηκεν ἀνωτέρω στίχ. 290. καὶ ἑξῆς. ἀλλ' ἐκεῖ κατ' ἀνάγκην ἐξέφρασεν οὕτω τὸ πρᾶγμα πρὸς ἀπολογίαν. 497. Διθύραμβε] ἐπωνυμίαν ταύτης δίδωσι νῦν πρῶτον αὐτῷ ὁ Ζεὺς διὰ τὸ διὰ δύο θυρῶν ἐξελθεῖν αὐτὸν εἰς τὸ φῶς, ἔκ τε νηδύος μητρῴας, κἀκ τοῦ μηροῦ αὖθις, τῶν ῥαμ-

Ἀναφαίνει χθόνιον
Γένος ἐκφύς τε δράκοντός
Ποτε Πενθεύς, ὃν Ἐχίων ἐφύτευσε χθόνιος,
Ἀγριωπὸν τέρας, οὐ φῶτα βρότειον,
Φόνιον δ', ὥστε γίγαντ', ἀντίπαλον θεοῖ-
Σιν, ὅς με βρόχοισι, τὰν τοῦ
Βρομίου, τάχα ξυνάψει·
Τὸν ἐμὸν ἐντὸς ἔχει δώματος ἤδη θιασώταν
Σκοτίαις κρυπτὸν ἐν εἱρκταῖς.
Ἐσορᾷς τάδ', ὦ Διὸς παῖ
Διόνυσε, σοὺς προφήτας
Ἐν ἁμίλλαισιν ἀνάγκας;
Μόλε, χρυσῶπα, τινάσσων ἀνὰ θύρσον κατ' Ὄλυμπον·
Φονίου τ' ἀνδρὸς ὕβριν κατάσχες.
Πόθι Νύσης ἄρα θη- (Ἐπῳδ.)
Ροτρόφου θυρσοφορεῖς
Θιάσους, ὦ Διόνυσ', ἢ κορυφαῖς Κωρυκίαις;
Τάχα δ' ἐν τοῖς πολυδένδροισιν Ὀλύμπου
Θαλάμαις, ἔνθαποτ' Ὀρφεὺς κιθαρίζων,
Σύναγεν δένδρεα Μούσαις, σύναγεν θῆρας ἀγρώτας.
Μάκαιρ' ὦ Πιερία,
Σέβεταί σ' Εὔϊος, ἥξει τε χορεύσων
Ἅμα βακχεύμασι, τόν τ' ὠκυρόαν
Διαβὰς Ἄξιον, εἱλισσομένας Μαινάδας ἄξει,

μάτων λυθέντων. 509. Ἐχίων] εἷς καὶ οὗτος ἐςὶ τῶν χθονίων. Τῶν γὰρ περι-



καὶ Πενθεὺς δρακόνδειτος, ὃν ὁ γηγενὴς ἐγέννησεν Ἐχίων, οὐκ ἄνθρωπον θνητὸν, οὐ μὰ Δία, ἀλλὰ τέρας ἄγριον, κἀποφώλιον ἀντίπαλον ὅλον τοῖς θεοῖς, ἄλλον γίγαντα· ὃς ἐμὲ μὲν τὴν τοῦ Βάκχου αὐτίκα μάλ' ἀπειλεῖ δεσμοῖς συνδήσειν, τὸν δ' ἐμὸν χορηγὸν καθεῖρξε συλλαβὼν ἐν τῷ δεσμωτηρίῳ· ἀλλ' ὦ παῖ τοῦ Διὸς Διόνυσε, ὁρᾷς τὰ πραττόμενα; ὁρᾷς τὰς σαυτοῦ Βάκχας πρὸς οἵας ἁμιλλῶνται ἀνάγκας; ἐλθὲ, ὦ χρυσῶπα, ἀπὸ τοῦ Ὀλύμπου κατιὼν, ἀνασείων τὸν θύρσον, τὴν τοῦ φονίου τούτου ἀνδρὸς ὕβριν κατασχήσων.

Ὦ Διόνυσε, ποῦποτε τῆς θηροτρόφου Νύσης ἄγεις τοὺς θιάσους; ἢ ἐν ταῖς τοῦ Κωρυκίου κορυφαῖς; δοκεῖς δὲ μᾶλλον ἐν τοῖς κατασκίοις τοῦ Ὀλύμπου κοιλάσιν, ἔνθ' ὁ Ὀρφεύς ποτε συνῆγε τὰ φυτὰ καὶ τὰ θηρία εἰς ἓν ταῖς Μούσαις, κατακηλῶν τῇ κιθάρᾳ· μακαρίζω σε τοίνυν, ὦ Πιερία, τιμωμένην οὕτω παρὰ τοῦ Βάκχου. ὃς ἥξει χορεύσων σοι μετὰ βακχευμάτων, καὶ τὰς περιχορευούσας Μαινάδας ἄξει, τόν τε ὁρμη-

λειφθέντων Σπαρτῶν ἦσαν Χθόνιος, Οὐδαῖος, Πέλωρος, Ὑπερήνωρ, καὶ Ἐχίων οὗτος, ἐξ οὗ ὁ Πενθεύς. 511. Γήγαντα] ὥσπερ Γήγαντες ἐπολέμησάν ποτε τοῖς θεοῖς. οὕτω καὶ Πενθεὺς Διονύσῳ. 523. Κωρικίαις] Κωρύκιον ὄρος ἐν Κυλικίᾳ. Στράβων γὰρ ἐν Κυλικίᾳ φασὶ, Κώρυκος ἄκρα, ὑπὲρ ἧς ἐν εἴκοσι ςαδίοις τὸ Κωρύκιόν ἐςιν ἄντρον, ἐν ᾧ ἡ ἀρίστη φύεται κρόκος. 525. Θαλάμαις] ἄμεινον οὕτω ἀντὶ τοῦ θαλάμας, ὡς καὶ ἐν ἄλλοις κεῖται. 530. Ἄξιον] ποτα-

Λυδίαν τε, τὸν τᾶς εὐδαιμονίας
Βροτοῖς ὀλβοδόταν, πατέρα τε, τὸν ἔκλυον
Εὔιππον χώραν ὕδασιν
Καλλίστοισι λιπαίνειν.

ΔΙ. Ἰὼ κλύετ' ἐμᾶς, κλύετ' αὐδαῖς,
Ἰὼ Βάκχαι, ἰὼ Βάκχαι!

ΧΟ. Τίς ὅδε; τίς, πόθεν ὁ κέλαδος ἀνά μ' ἔ-
Κάλεσεν Εὐΐου;

ΔΙ. Ἰὼ ἰώ! πάλιν αὐδῶ,
Ὁ Σεμέλας, ὁ Διὸς παῖς.

ΧΟ. Ἰὼ ἰὼ δέσποτα; δέσποτα,
Μόλε νῦν ἡμέτερον εἰς θίασον, ὦ Βρόμιε, Βρόμιε.
Πέδον χθονὸς, ἔνοσι πότνια!
Ἆ ἆ!
Τάχα τὰ Πενθέως
Μέλαθρα διατινάξεται πεσήμασιν.

ΔΙ. Ὁ Διόνυσος ἀνὰ μέλαθρα, σέβετέ νιν.

ΧΟ. Σέβομεν ὦ! ἴδετε
Λάϊνα κίοσιν ἔμβολα
Διάδρομα τάδε·
Ὁ Βρόμιος ἀλαλάξεται στέγας ἔσω.

ΗΜ. Ἅπτε κεραύνιον αἴθοπα λαμπάδα·
Σύμφλεγε, σύμφλεγε δώματα Πενθέως.

---

μὸς οὗτος ἐν Μακεδονίᾳ· 531. Λυδίαν τε] ἐν ἄλλοις Λυδίαν δὲ, οὐ καλῶς ἴσως· ἔστι γὰρ κἀν Μακεδονίᾳ ποταμὸς, ὅς τὴν χώραν λιπαίνων, ὀλβίαν ποιεῖ· εἰδὲ εἰς τὸν Ἄξιον τὴν τῆς χώρας λίπανσιν ἀναφέροιμεν, τὸ Λυδίαν μένει ἀναπόδοτον· ἡ δὲ τάξις τῆς συνθήκης οὕτω.



τικὸν Ἄξιον διαβὰς, καὶ τὸν Λυδίαν τὸν τῆς εὐδαιμονίας δοτῆρα τοῖς ἀνθρώποις, ὃς τὴν εὔιππον χώραν καλλίστοις ἀρδεύει ῥείθροις.

ΔΙ. Ἰὼ, ἀκούετε τῆς ἐμῆς φωνῆς, ἀκούετε, ὦ βάκχαι, ἰὼ βάκχαι.

ΧΟ. Τίς ποθ' ἥδε, τίς ἡ φωνὴ τοῦ Βρομίου ἀνακαλεῖ με ὧδε;

ΔΙ. Ἰὼ πάλιν, ὁ Σεμέλης καὶ Διὸς ἀνακράζω.

ΧΟ. Ἰὼ, ἰὼ, δέσποτα, δέσποτα, ἐλθὲ νῦν εἰς τὸν θίασον ἡμῶν, ὦ βρόμιε, βρόμιε, εἰς τὸ ἔδαφος, ὦ πότνια γῆ! σεισμοῦ γὰρ αἰσθάνομαι γιγνομένου· ἆ, ἆ, ὁρῶ τὰ Πενθέως ἀνάκτορα ἐκ βάθρων διασειόμενα.

ΔΙ. Διόνυσος αὐτὸς ἔνδον, σέβεσθε τὸν θεόν.

ΧΟ. Σεβόμεθα δήπου· ὁρᾶθ' ὅπως περισείεται τὸ περίστυλον τοῦτο; φωνὴ Βρομίου ἀλαλάζοντος ἀκούεται ἔνδον.

ΗΜ. Ἄναψον τὴν σαυτοῦ φρικώδη λαμπάδα, πυρπόλει τὸ τοῦ Πενθέως δῶμα ἔξαπτε, φείδου μηδέν.

---

» Ἥξει τε χορεύσων
» Ἅμα βακχεύμασιν,
» Εἱλισσομένας τε Μαινάδας ἄξει,
» Τον τ' ὠκυρόαν
» Διαβὰς ἄξιον,
» Λυδίαντε, τὸν τὰς εὐδαιμονίας
» Βροτοῖς ὀλβοδόταν, πατέρα τε·
» Τον ἔκλυον εὔϊππον χώραν ὕδασι
» Καλλίςοισι λιπαίνειν.

543. Πέδον χθονὸς ἔνοσι] φασὶ δὲ τινὰς τὸ, ἔνοσι, μὴ εἶναι κλητικὴ τοῦ, ἔνοσις, ὃ σημαίνει σεισμὸν, ἀλλὰ τρίτον πρόσωπον ῥήματος. Ἔνομι· τὸ δὲ, πότνια, ἤτοι πρὸς το χθὼν, ἢ προς ἄλλον πρόσωπον τῶν Βακχῶν· ἐν ἄλλοις δ' οὖν κεῖται, πέδων χθονὸς ἔνοσι πότνια, ὅπερ, ὡς ἁπλούστερον, καὶ ὁμαλώτερον δοκεῖμοι ἄμεινον εἶναι, ἵνα ᾖ ὦ ἔνοσι πότνια (σεβαστὲ, φοβερὲ σεισμὲ) τῶν πεδίων τῆς γῆς.

ΗΜ. Ἆ ἆ! πῦρ οὐ λεύσσεις, οὐδ' αὐγάζῃ
Σεμέλας ἱερὸν ἀμφὶ τάφον, ἅν ποτε κεραυ-
Νοβόλος ἔλιπε φλόγα δίου βροντᾶς;
Δίκετε πεδόσε τροφερὰ σώματα, δίκετε Μαινάδες·
Ὁ γὰρ ἄναξ ἄνω κάτω τιθεὶς, ἔπεισι
Μέλαθρα τάδε Διὸς γόνος Διόνυσος.

## ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΔΙΟΝΥΣΟΣ, ΧΟΡΟΣ, ΠΕΝΘΕΥΣ, ΑΓΓΕΛΟΣ.

ΔΙ. Βάρβαροι γυναῖκες, οὕτως ἐκπεπληγμέναι φόβῳ
Πρὸς πέδῳ πεπτώκατ'; ᾔσθησθ', ὡς ἔοικε Βακχίου
Διατινάξαντος τὰ Πενθέως δώματ'· ἀλλ' ἀνίστατε
Σῶμα, καὶ θαρσεῖτε, σαρκὸς ἐξαμείψασαι τρόμον.

ΧΟ. Ὦ φάος μέγιστον ἡμῖν Εὐΐου βακχεύματος,
Ὡς ἐσεῖδον ἀσμένη σε, μονάδ' ἔχουσ' ἐρημίαν.

ΔΙ. Εἰς ἀθυμίαν ἀφίκεσθ', ἡνίκ' εἰσεπεμπόμην,
Πενθέως ὡς ἐς σκοτεινὰς ὁρκάνας πεσούμενος.

ΧΟ. Πῶς γὰρ οὔ, τίς μοι φύλαξ ἦν, εἰ σὺ συμφορᾶς τύχοις;
Ἀλλὰ πῶς ἠλευθερώθης, ἀνδρὸς ἀνοσίου τυχών;

ΔΙ. Αὐτὸς ἐξέσωσ' ἐμαυτὸν ῥᾳδίως ἄνευ πόνου.

ΧΟ. Οὐδέ σου ξυνῆψε χεῖρα δεσμίοισιν ἐν βρόχοις;

ΔΙ. Ταῦτα καὶ καθύβρισ' αὐτὸν, ὅτι, με δεσμεύειν δοκῶν,

SISMANOGLIO



ΗΜ. Ἆ, ἆ· οὐχ ὁρᾷς σὺ τὸ πῦρ ἐκεῖνο, στρέψον δευρὶ τὸ ὄμμα πρὸς τὸν Σεμέλης τάφον. τοῦτ' ἄρ' ἐκεῖνο τῆς φοβερᾶς βροντῆς, ὃ ποτὲ ὁ κεραυνοφόρος Ζεὺς ἐφῆκεν ἐπ' ἐκείνην· βάλεθ' ἑαυτὰς κάτω· καταβάλετε, ὦ Μαινάδες· Διόνυσος γὰρ ὁ παῖς τοῦ Διός, ἄνω καὶ κάτω σείων, ἀνατρέψει τὸ δῶμα τοῦτο.

## ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΔΙΟΝΥΣΟΣ, ΧΟΡΟΣ, ΠΕΝΘΕΥΣ, ΑΓΓΕΛΟΣ.

ΔΙ. Βάρβαροι γυναῖκες, τί δήποθ' οὕτως ἐκπεπληγμέναι καταπεπτώκαθ' ὧδε; ᾔσθησθε Διονύσου τὸ τοῦ Πενθέως διατινάξαντος δῶμα; ἀναθαῤῥήσασαι νῦν γ', ἐξανίσασθε, ἀναπνεύσατε, τὸν φόβον ἀποβαλοῦσαι.

ΧΟ. Ὦ φῶς τῶν ἐμῶν βακχευμάτων, ὡς ἡδέως εἶδόν σε ἐν ἐρημίᾳ ἤδη οὖσα.

ΔΙ. Ἀθυμία ἔοικεν ὑμᾶς κατασχεῖν, εἰς εἱρκτὴν ἐμοῦ ὑπὸ Πενθέως εἰσπεμπομένου.

ΧΟ. Πῶς γὰρ οὔ; τίς γὰρ φύλαξ; τίς σωτὴρ, σοῦ παθόντος τι; τίς ἡμῖν ἂν εἴη ἐλπίς; ἀλλὰ πῶς ἀπηλλάγης ἀνδρὸς ἀνοσιωτάτου;

ΔΙ. Αὐτὸς δι' ἐμαυτοῦ ὑπεκφυγὼν ῥᾳδίως.

ΧΟ. Οὐδ' ἔδησέ σε περιαγαγὼν τὼ χεῖρε;

ΔΙ. Τοῦτο μάλιστα ἦν ὕβρις κατ' αὐτοῦ· δοκῶν γάρ με

Οὔτ' ἔθιγεν, οὔθ' ἥψαθ' ἡμῶν, ἐλπίσιν δ' ἐβόσκετο.
Πρὸς φάτναις δὲ ταῦρον εὑρὼν, οὗ καθεῖρξ' ἡμᾶς ἄγων,
Τῷδε περὶ βρόχους ἔβαλλε γόνασι καὶ χηλαῖς ποδῶν,
Θυμὸν ἐκπνέων, ἱδρῶτα σώματος στάζων ἄπο,
Χείλεσειν διδοὺς ὀδόντας· πλησίον δ' ἐγὼ παρὼν,
Ἥσυχος θάσσων, ἔλευσσον. ἐν δὲ τῷδε τῷ χρόνῳ
Ἀνετίναξ' ἐλθὼν ὁ Βάκχος δῶμα, καὶ μητρὸς τάφῳ
Πῦρ ἀνῆψ'· ὁ δ', ὡς ἐσεῖδε, δώματ' αἴθεσθαι δοκῶν,
Ἧσσ' ἐκεῖσε, κᾆτ' ἐκεῖσε, δμωσὶν Ἀχελῶον φέρειν
Ἐννέπων, ἅπας δ' ἐν ἔργῳ δοῦλος ἦν μάτην πονῶν.
Διαμεθεὶς δὲ τόνδε μόχθον, ὡς ἐμοῦ πεφευγότος,
Ἵεται, ξίφος κελαινὸν ἁρπάσας, δόμων ἔσω.
Κᾆθ' ὁ Βρόμιος, ὡς ἔμοιγε φαίνεται, δόξαν λέγω,
Φάσμ' ἐποίησεν κατ' αὐλήν· ὁ δ' ἐπὶ τοῦθ' ὡρμημένος
Ἧσσε κᾀκέντει φαεννὸν αἰθέρ', ὡς σφάζων ἐμέ.
Πρὸς δὲ τοῖσδ' αὐτῷ τάδ' ἄλλα Βάκχιος λυμαίνεται·
Δῶμά τ' ἔῤῥηξεν χαμᾶζε· συντεθράνωται δ' ἅπαν,
Πικροτάτους ἰδόντι δεσμοὺς τοὺς ἐμούς· κόπου δ' ὕπο,
Διαμεθεὶς ξίφος, παρεῖται. πρὸς θεὸν γὰρ, ὢν ἀνὴρ,
Ἐς μάχην ἐλθεῖν ἐτόλμησ'· αὐτὸς δ' ἐκ Βάκχας ἄγων

573. ἐλπίσι δ' ἐβόσκετο] ᾤετο δ' ἐμὲ δεσμεύειν. 577. Χείλεσι διδοὺς ὀδόντας] δακὼν τὸ χεῖλος· οἱ γὰρ πάσῃ τῇ τῶν χειρῶν ἰσχύϊ πράττοντες δάκνουσι τὸ χεῖλος, ῥώμην ἐντεῦθεν ἐπισυνάγοντες ἑαυτοῖς. 579. Ἐλθὼν ὁ Βάκχος] ὁ ἀληθὴς Διόνυσος, οὐχ ὁ ἀνθρωπόμορφος. 681. Ἀχελῷον] ἢ ἁπλῶς ἀντὶ τοῦ ὕδωρ πολὺ, ἢ ἐν τῷ τεταράχθαι, καὶ μέγαν ἑωρακέναι τὸν κίνδυνον ἐχρήσατο τοιαύτῃ παραδόξῳ ὑπερβολῇ, οὐ μόνον διὰ τὸ τοῦ ποταμοῦ μέγεθος, ἀλλὰ καὶ διὰ τὸ πολλὰς ἡμέρας ἀπέχειν ἐκεῖνον. 592. Ἐκ Βάκχας] ἡ δὲ συνθήκη οὕτω· ἐγὼ δὲ ἐξαγαγὼν τὰς Βάκχας ἐκ τῶν δωμά-



θεῖν, οὐδ' ἔθιγέ μου ὅλως. Ταῦρον δὲ πρὸς τῇ φάτνῃ, ἔνθα με καθεῖρξεν, εὑρὼν, τούτῳ εἰς τοὺς πόδας καθῆκε πέδας, ἐμὲ οἰόμενος ποιεῖν δεσμώτην, πολὺν μὲν θυμὸν ἐκπνέων τῶν μυκτήρων, πολὺν δὲ καὶ τοῦ σώματος ἱδρῶτα ἀποστάζων, καὶ τὸ χεῖλος αὐτὸ δάκνων. ἐγὼ δὲ παραστὰς, ἐθεώμην ἡσυχῇ τὸ πραττόμενον· κᾀν τούτῳ ἐλθὼν ὁ Βάκχος, ἀνέσεισε πᾶν τὸ δῶμα· καὶ πῦρ ἀνῆψεν ἐν τῷ μητρῴῳ τάφῳ· Πενθεὺς δ', ἐκπλαγεὶς πρὸς τὴν θέαν, μηδὲν, ἢ τὴν οἰκίαν αὐτὴν ὑπολαβὼν πυρπολεῖσθαι, ὥρμησε μεταπηδᾷν ἄλλοτ' ἄλλοσε, τοὺς ὑπηρέτας βοῶν, κελεύων φέρειν αὐτὸν Ἀχελῷον, ὡς ἂν τὴν φλόγα ἀποσβέσειε, τοῖς ἄνω καὶ κάτω δρόμοις κοπτόμενος, κοὐδὲν ποιῶν ἐν τούτῳ· εἶθ' ὑπολαβών με διαπεφευγέναι, ἀφεὶς τἄλλα, ξίφος ἔσωθεν ἁρπάσας ἀπὸ τῶν δωμάτων, ἵησιν ὁμόσε τούτῳ ὡς δῆθεν ἐπ' ἐμὲ πρὸς τὴν αὐλὴν, εἴδωλόν τι, ὡς ἔμοιγε δοκεῖ, τοῦ Βάκχου παραστήσαντος αὐτῷ, καὶ ἐν τούτῳ ἔπαιε τὸν ἀέρα, ἐμὲ αὐτὸν οἰόμενος κατακαίνειν· χωρὶς δὲ τούτων κᾀκείνην τὴν ζημίαν οὐ μικρὰν αὐτῷ ὁ Βάκχος ἐπέθηκε· τὸ γὰρ δῶμα κατερηριμμένον τῷ σεισμῷ, ἀνατέτραπται ἄρδην αὐτῷ, ὡς πικρῶν τῶν ἐμῶν ἀπονάμενον πεδῶν· οὕτω δὴ ἐκεῖνος μὲν παρεὶς τὸ ξίφος τῆς χειρὸς, ἐκλέλυται ὅλως, πολλὰς πρὸς τὴν σκιὰν μαχεσάμενος μάχας· θνητὸς γὰρ ὢν, ἀπετόλμησεν εἰς χεῖρας ἐλθεῖν θεῷ, ἐξαγαγὼν ἐκεῖθεν τὰς Βάκχας, ἐγὼ δ' αὐτός τε ἐξελθὼν ἀτρέμας,

των, ἥκω πρὸς ὑμᾶς. ἴδε στίχ. 420. ἐν ἄλλοις δὲ κεῖται, ἥσυχος Βάκχας δ'

Δωμάτων, ἥκω πρὸς ὑμᾶς, Πενθέως οὐ φροντίσας.
Ὡς δ' ἐμοὶ δοκεῖ, (ψοφεῖ γοῦν ἀρβύλη δόμων ἔσω)
Ἐς προνώπι' αὐτίχ' ἥξει. τί ποτ' ἂν ἐκ τούτων ἐρεῖ;
Ῥᾳδίως γὰρ αὐτὸν οἴσω, κἂν πνέων ἔλθῃ μέγα·
Πρὸς σοφοῦ γὰρ ἀνδρὸς, ἀσκεῖν σώφρον' εὐοργησίαν

ΠΕ. Πέπονθα δεινά. διαπέφευγέ μ' ὁ ξένος,
Ὃς ἄρτι δεσμοῖς ἦν κατηναγκασμένος.
Ἔα, ἔα.
Ὅδ' ἐστὶν ἀνήρ. τί τάδε; πῶς προνώπιος
Φαίνει πρὸς οἴκοις τοῖς ἐμοῖς, ἔξω βεβώς;

ΔΙ. Στῆσον πόδ', ὀργῇ δ' ὑπόθες ἥσυχον πόδα.

ΠΕ. Πόθεν σὺ δεσμὰ διαφυγὼν, ἔξω περᾷς;

ΔΙ. Οὐκ εἶπον, ἢ οὐκ ἤκουσας, ὅτι λύσει μέ τις;

ΠΕ. Τίς; τοὺς λόγους γὰρ ἐσφέρεις καινοὺς ἀεί.

ΔΙ. Ὃς τὴν πολύβοτρυν ἄμπελον φύει βροτοῖς.

ΠΕ. Ὠνείδισας δὴ τοῦτο Διονύσῳ καλόν.
Κλείειν κελεύω πάντα πύργον ἐν κύκλῳ.

ΔΙ. Τί δ'; οὐχ ὑπερβαίνουσι καὶ τείχη θεοί;

ΠΕ. Σοφὸς, σοφὸς γ' εἶ, πλὴν ἃ δεῖ σ' εἶναι σοφόν·

ΔΙ. Ἃ δεῖ μάλιστα, ταῦτ' ἔγωγ' ἔφυν σοφός.
Κείνου δ' ἀκούσας πρῶτα τοὺς λόγους μάθε,
Ὃς ἐξ ὄρους πάρεστιν ἀγγελῶν τί σοι·
Ἡμεῖς δέ σοι μενοῦμεν, οὐ φευξούμεθα.

ΑΓ. Πενθεῦ, κρατύνων τῆσδε Θηβαίας χθονὸς
Ἥκω, Κιθαιρῶν' ἐκλιπὼν, ἵν' οὔ ποτε
Λευκῆς χιόνος ἀνεῖσαν εὐαυγεῖς βολαί-

---

ἄγων. 605. Εἰς προνώπια] πρὸ τῆς τῶν οἴκων ὄψεως. 540. Ῥᾳδίως] ἥσυχος ἀταράχως. 605. Οὐκ εἶπον] ἀνωτέρω στίχ. 498. 609. Κλείειν κελεύω]



ἥκω πρὸς ὑμᾶς, Πενθέως μικρὰ φροντίσας· ὃς αὐτίκα μάλα ἥξει δεῦρο πρὸ δωμάτων· αἰσθάνομαι γὰρ ποδῶν ψοφούντων ἔνδον· τί ποτ' ἄρα ἐρεῖ ἡμῖν; ἐγὼ δ' οὖν πράως δέξομαι, κἂν ἴδω αὐτὸν πῦρ πνέονθ' ὅλως· ἀνδρὸς γὰρ φρονοῦντος χαρακτὴρ ὀργῇ μὴ ἐξάπτεσθαι.

ΠΕ. Δεινὰ, δεινὰ τυγχάνω πεπονθώς· ὁ γὰρ ξένος, ὃν ἔφθην καθείρξας ἐν δεσμοῖς, ἀπέδρα. Ἔα, ἔα, οὗτος ὧδ' ἐστιν ἐκεῖνος· τί τοῦθ' ὁρῶ; πόθεν σὺ δεῦρο αὖ πάλιν παρεγένου ἀποδεδρακώς;

ΔΙ. Ἐπίσχες, ἀτρέμας ἔχων, μηδ' ἐπιπήδα μάτην.

ΠΕ. Πόθεν σὺ, ἐκλυθεὶς τῶν πεδῶν, ἐξῆλθες ὧδε;

ΔΙ. Μῶν οὐκ εἶπόν σοι, ὅτι ἔστι τις ὁ λύσων;

ΠΕ. Τίς οὗτος; καινὰ γὰρ ἄλλοτε ἄλλα λέγεις.

ΔΙ. Ὁ διδοὺς τοῖς θνητοῖς τὸ γλυκὺ πῶμα τῆς ἀμπέλου.

ΠΕ. Καλόν γε τοῦτο κατεῖπας Διονύσου! Φύλακες, κλείετε πάσας τὰς θύρας κύκλῳ.

ΔΙ. Τί δε; οἱ θεοὶ οὐκ ἀρκοῦσιν ὑπερβαλεῖν τὰ τείχη;

ΠΕ. Σοφός γ' εἶ πάντα, πλὴν ἃ δεῖ σοφόν σε εἶναι.

ΔΙ. Ἐγὼ μὲν, ἅ με δεῖ σοφὸν εἶναι, ταῦτά φημι σοφὸς πεφυκέναι· σὺ δ' ἀκούσας ἐκείνου, ὃς πρόσεισιν ἀπὸ τοῦ ὄρους ὧδε, τῶν ἐκεῖ τί γεγενημένων ἀγγεῖλαί σοι σπουδὴν ἔχων, σωφρόνει· περὶ δὲ ἡμῶν μηδὲν πτοοῦ, μηδὲ τὰς θύρας κλεῖε· οὐ γὰρ φευξούμεθα.

ΑΓ. Πενθεῦ, ὁ τῆσδε κρατῶν τῆς χώρας, ἥκω ἐκλιπὼν Κιθαιρῶνα· ὃν οὔπω τις εἶδε κενὸν χιόνος·

---

τοῦτο ἀποδοτέον τῷ Πενθεῖ· συγκέχυνται γὰρ τὰ πρόσωπα ἐν ἄλλοις. 662. Εὐαυγεῖς] λαμπρὰς, ἐν ἄλλοις εὐαγεῖς. 620. Ποτνιάδας] ἐνθουσιώσας.

ΠΕ. Ἥκεις δ', ὁποίαν προστιθεὶς σπουδὴν λόγου;
ΑΓ. Βάκχας ποτνιάδας εἰσιδὼν, αἳ τῆσδε γῆς
Οἴστροισι λευκὸν κῶλον ἐξηκόντισαν,
Ἥκω, φράσαι σοὶ καὶ πόλει χρῄζων, ἄναξ,
Ὡς δεινὰ δρῶσι θαυμάτων τε κρείσσονα.
Θέλω δ' ἀκοῦσαι, πότερά σοι παῤῥησίᾳ
Φράσω τὰ κεῖθεν, ἢ λόγον στειλώμεθα;
Τὸ γὰρ τάχος σου τῶν φρενῶν δέδοικ', ἄναξ,
Καὶ τοὐξύθυμον καὶ τὸ βασιλικὸν λίαν.
ΠΕ. Λέγ', ὡς ἀθῷος ἐξ ἐμοῦ πάντως ἔσῃ·
Τοῖς γὰρ δικαίοις οὐχὶ θυμοῦσθαι χρεών.
Ὅσῳ δ' ἂν εἴπῃς δεινότερα Βακχῶν πέρι,
Τοσῷδε μᾶλλον τὸν ὑποθέντα τὰς τέχνας
Γυναιξὶ τόνδε τῇ δίκῃ προσθήσομεν.
ΑΓ. Ἀγελαῖα μὲν βοσκήματ' ἄρτι πρὸς λέπας
Μόσχων ὑπεξήκριζον, ἡνίχ' ἥλιος
Ἀκτῖνας ἐξίησι θερμαίνων χθόνα.
Ὁρῶ δὲ θιάσους τρεῖς γυναικείων χορῶν,
Ὧν ἦρχ', ἑνὸς μὲν, Αὐτονόη, τοῦ δευτέρου,
Μήτηρ Ἀγαυὴ σὴ, τρίτου δ' Ἰνὼ χοροῦ.
Εὗδον δὲ πᾶσαι σώμασιν παρειμέναι,
Αἱ μὲν, πρὸς ἐλάτης νῶτ' ἐρείσασαι φόβην,
Αἱ δ', ἐν δρυὸς φύλλοισι πρὸς πέδῳ κάρα
Εἰκῇ βαλοῦσαι σωφρόνως, οὐχ, ὡς σὺ φῂς

621. Κῶλον] τὸν λευκὸν ἐκίνησαν πόδα. 634. Ὑπεξήκριζον] πρὸς τὴν ἄκραν, εἴτουν κορυφὴν τοῦ ὄρους ἐξήλαυνον. 642. Ὡς σὺ φῂς] ἀναφέρει ταῦτα

SISMANOGLIO MEGARO



ΠΕ. Τίνα δὲ λόγου αἰτίαν ἧκες ἔχων;

ΑΓ. Ἰδὼν γὰρ αὐτόθι τὰς ποτνιάδας Βάκχας, τὰς ἐκ τῆς πόλεως τῆσδε ἐξοιστρηθείσας, ἦλθον ἐρῶν σοί τε καὶ τοῖς πολίταις, οἷα ἑώρακα ἐκείνας δρώσας, ὡς δεινὰ καὶ παντὸς κρείττω λόγου· ἀλλὰ πρῶτον γ' ἐκεῖνο βουλοίμην ἂν εἰδέναι, πότερον χρηστέον παῤῥησίᾳ, ἢ συνελόντα λέγειν; ἰδὼν γάρ σε, ὦ ἄναξ, ταχὺν εἰς ὀργὴν, καὶ τυραννικὸν, δέδοικα, μήτις τοῦ λόγου ζημία μοι προστριβήσεται.

ΠΕ. Λέγε μηδὲν δεδιώς· οὐ γὰρ δεῖ θυμοῦσθαι τοῖς δικαίοις· ὅσῳ δὲ δεινότερα κατείπῃς τῶν Βακχῶν, τοσούτῳ μείζονος τιμωρίας οὗτος, ὁ ταύτης τῆς τέχνης ἐκείναις διδάσκαλος γεγενημένος, ἄξιος ἔσται.

ΑΓ. Ἐτύγχανον τοίνυν ἐξελαύνων τὰς βοῦς πρὸς τὴν τοῦ ὄρους ὑπερβολὴν, ἄρτι τοῦ ἡλίου τὰς ἀκτῖνας ταῖς ἐκείνου κορυφαῖς ἐπαφέντος· ἐκεῖ δ' ὁρῶ αἴφνης θιάσους τρεῖς γυναικῶν ἐν μέρει καὶ χωρὶς ἀλλήλων κατακεκλιμένων· ὧν τοῦ μὲν πρώτου ἐξῆρχεν Αὐτονόη· τοῦ δὲ, Ἀγαυὴ, ἡ σὴ μήτηρ. ἡ δὲ Ἰνὼ, τοῦ τρίτου· ἐκάθευδον δὲ πᾶσαι, ὡς ἐκ πολλοῦ πόνου παρειμέναι τοῖς σώμασιν, αἱ μὲν χλωρὴν ἐλάτην ὑποβεβλημέναι, αἱ δὲ ἐπὶ φύλλων δρυὸς, ὅπως τύχοι, τὴν κεφαλὴν ἐπὶ γῆς καταθεῖσαι, σὺν κόσμῳ δὲ πᾶσαι, οὐχ ὡς ἂν εἴποις αὐτὸς, ἐκ μέθης, οὐδ' αὐλῷ θηρώμεναι

πρὸς τὰ ἀνωτέρω· στίχ. 220. καὶ ἑξῆς ἅπερ ὁ ἄγγελος οὐδ' ἠκηκόει.

Οἰνωμένας κρατῆρι καὶ λωτοῦ ψόφῳ
Θηρᾶν καθ' ὕλην Κύπριν ἠρημωμένας·
Ἡ σὴ δὲ μήτηρ ὠλόλυξεν ἐν μέσαις
Σταθεῖσα Βάκχαις, ἐξ ὕπνου κινεῖν δέμας,
Μυκήμαθ' ὡς ἤκουσε κεροφόρων βοῶν.
Αἱ δ', ἀποβαλοῦσαι θαλερὸν ὀμμάτων ὕπνον,
Ἀνῇξαν ὀρθαὶ, θαῦμ' ἰδεῖν εὐκοσμίας,
Νέαι, παλαιαὶ, παρθένοι τ' ἔτ' ἄζυγες.
Καὶ πρῶτα μὲν καθεῖσαν εἰς ὤμους κόμας,
Νεβρίδας τ' ἀνεστείλανθ', ὅσαισιν ἀμμάτων
Σύνδεσμ' ἐλέλυτο, καὶ καταστίκτους δορὰς
Ὄφεσι κατεζώσαντο λιχμῶσιν γένυν.
Αἱ δ' ἀγκάλαισι δορκάδ', ἢ σκύμνους λύκων
Ἀγρίους ἔχουσαι, λευκὸν ἐδίδοσαν γάλα,
Ὅσαις νεοτόκοις μαζὸς ἦν σπαργῶν ἔτι,
Βρέφη λιπούσαις· ἐπὶ δ' ἔθεντο κισσίνους
Στεφάνους, δρυός τε σμίλακός τ' ἀνθεσφόρου.
Θύρσον δέ τις λαβοῦσ', ἔπαισεν ἐς πέτραν,
Ὅθεν δροσώδης ὕδατος ἐκπηδᾷ νοτίς·
Ἄλλη δὲ νάρθηκ' ἐς πέδον καθῆκε γῆς,
Καί τῇδε κρήνην ἐξανῆκ' οἴνου θεός·
Ὅσαις δὲ λευκοῦ πώματος πόθος παρῆν,
Ἄκροισι δακτύλοισι διαμῶσαι χθόνα,
Γάλακτος ἐσμοὺς εἶχον· ἐκ δὲ κισσίνων
Θύρσων γλυκεῖαι μέλιτος ἔσταζον ῥοαί.
Ὥστ', εἰ παρῆσθα, τὸν θεὸν, τὸν νῦν ψέγεις,
Εὐχαῖσιν ἂν μετῆλθες, εἰσιδὼν τάδε.
Ξυνήλθομεν δὲ βουκόλοι καὶ ποιμένες,



τὴν Κύπριν ἐν ἐρήμῳ τῇ ὕλῃ. Ἀγαυὴ δ' οὖν ἡ σὴ μήτηρ πρώτη· ὡς ἤκουσε τῶν βοῶν μυκωμένων, ἀναστᾶσα μεταξὺ τῶν ἄλλων, ἀνωλόλυξε μέγα, κελεύσασα πάσας ἐξεγερθῆναι· αἱ δὲ, ἀπωσάμεναι παραχρῆμα τὸν ὕπνον, ἠγέρθησαν σὺν πάσῃ εὐκοσμίᾳ, νέαι τε, παρθένοι, καὶ γεραιαί· καὶ πρῶτον μὲν καθίεσαν τὰς κόμας ἐπὶ νῶτα, τάς τε νεβρίδας, ὅσαις αὗται ἐτύγχανον λελυμέναι, ἀνεστείλαντο περόναις, καὶ τὰς καταστίκτους δορὰς ὄφεσι περιεζώσαντο, τὰ περὶ τὸ πρόσωπον αὐτῶν περιλείχουσιν· ὅσαι δ' αὐτῶν παῖδας ὑπομαζίους ἐτύγχανον καταλιποῦσαι οἴκοι, σπαργώντων ἤδη τῷ γάλακτι τῶν μαστῶν, παρεῖχον αὐτοὺς ἡδέως· αἱ μὲν, δορκάσιν· αἱ δὲ, σκύμνοις λύκων· αἱ δὲ, ὅτῳ τύχοι· ἔπειτα δὲ στεφάνους ἐπιθεμένων αὐτῶν ἁπασῶν, κισσσοῦ τε, καὶ δρυὸς, καὶ σμίλακος ἀνθοφόρου, ἔπαισέ τις τῷ θύρσῳ πρὸς τὴν πέτραν, καὶ παραχρῆμα ἐξῆλθεν ὕδωρ· ἄλλης δὲ αὖθις καταραξάσης τοὔδαφος, ᾧ κατεῖχε νάρθηκι, ἐξεπήδησε κἀνταῦθα πηγὴ οἴνου· αἱ δ' αὖ ἐφίεντο γάλακτος, μικρὸν τὴν γῆν ἄκροις ἀνασκαλεύουσαι τοῖς δακτύλοις, πολύ τι χρῆμ' ἐκεῖθεν ἀνῄει, κἀκ τῶν θύρσων αὖθις αὐταῖς οὐχ' ἧττον ἄφθονον μέλι ἔῤῥει. Ὥστ' εἰ ἔτυχες ἰδὼν ταῦτα, παραχρῆμα προσεκύνησας, ὃν νῦν ψέγεις θεόν. Ἐπὶ τούτοις οὖν συνελθόντων ἡμῶν βουκόλων τε καὶ ποιμένων βουλεύσασθαι

---

654. Ὄφεσι] ὅτι αἱ Βάκχαι ἦσαν καὶ ὀφιοπλόκαμοι καὶ ἐντεῦθεν δῆλον, ἀλλὰ καὶ ἐξ ὧν εἴρηται ἀνωτέρω. στίχ. 103. καὶ κατωτέρω στίχ. 724. τὸ δὲ λιχμῶ-

Καινῶν λόγων δώσοντες ἀλλήλοις ἔριν,
Ὡς δεινὰ δρῶσι θαυμάτων τ' ἐπάξια·
Καί τις πλάνης κατ' ἄστυ καὶ τρίβων λόγων
Ἔλεξεν εἰς ἅπαντας· Ὦ σεμνὰς πλάκας
Ναίοντες ὀρέων, θέλετε θηρασώμεθα
Πενθέως Ἀγαυὴν μητέρ' ἐκ βακχευμάτων,
Χάριν τ' ἄνακτι θῶμεν; εὖ δ' ἡμῖν λέγειν
Ἔδοξε, θάμνων δ' ἐλλοχίζομεν φόβαις,
Κρύψαντες αὐτούς· αἱ δὲ τὴν τεταγμένην
Ὥραν ἐκίνουν θύρσον ἐς βακχεύματα,
Ἴακχον ἀθρόῳ στόματι, τὸν Διὸς γόνον,
Βρόμιον καλοῦσαι· πᾶν δὲ συνεβάκχευσ' ὄρος
Καὶ θῆρες, οὐδὲν δ' ἦν ἀκίνητον δρόμῳ.
Κύρει δ' Ἀγαυὴ πλησίον θρώσκουσά μου·
Καγὼ 'ξεπήδησ', ὡς συναρπάσαι θέλων,
Λόχμην κενώσας, ἔνθ' ἐκρύπτομεν δέμας.
Ἡ δ' ἀνεβόησεν· Ὦ δρομάδες ἐμαὶ κύνες,
Θηρώμεθ' ἀνδρῶν τῶνδ' ὕπ'· ἀλλ' ἕπεσθέ μοι
Ἕπεσθε, θύρσοις διὰ χερῶν ὡπλισμέναι.
Ἡμεῖς μὲν οὖν φεύγοντες, ἐξηλύξαμεν
Βακχῶν σπαραγμὸν, αἱ δὲ νεμομέναις χλόην
Μόσχοις ἐπῆλθον χειρὸς ἀσιδήρου μέτα.
Καὶ τὴν μὲν ἂν προσεῖδες εὔθηλον πόριν
Μυκωμένην ἔχουσαν ἐν χεροῖν δίχα·
Ἄλλαι δὲ δαμάλας διεφόρουν σπαράγμασιν.
Εἶδες δ' ἂν ἢ πλεύρ', ἢ δίχηλον ἔμβασιν,
Ῥιπτόμεν' ἄνω τε καὶ κάτω· κρεμαστὰ δὲ
Ἔσταζ' ὑπ' ἐλάταις ἀναπεφυρμέν' αἵματι,



περὶ τῶν παρόντων, μεγάλων ὄντων καὶ θαυμαστῶν, παριόντις, τούτων δὴ τῶν ἐς τὰς ἀγορὰς φοιτώντων, ἀνὴρ δεινὸς λέγειν, ἔφη, ὦ τὰ νάπη ταῦτα καὶ τὰς τῶν ὀρέων οἰκοῦντες κοιλάδας, βούλεσθε Ἀγαυὴν τὴν τοῦ Πενθέως μητέρα ἐκ μέσων ἀναρπάσαντες τῶν βακχευμάτων, ἀνασώσωμεν αὐτὴν τῷ βασιλεῖ, χάριν φέροντες; κἀπειδὴ εὖ ἔδοξε λέγειν, ἐνηδρεύσαμεν, ἄλλος ἄλλῃ τοῖς θάμνοις ὑποδύντες· αἱ δὲ, τῆς ὥρας ἐνστάσης, ἀράμεναι τοὺς θύρσους πρὸς βακχείαν, ὕμνουν ὁμοθυμαδὸν ὡς ἀφ' ἑνὸς σύμπασαι στόματος τὸν παῖδα τοῦ Διὸς, Ἴακχόν τε, καὶ Βρόμιον αὐτὸν καλοῦσαι· καὶ ἑώρα τις πᾶν τὸ ὄρος σὺν αὐτοῖς τοῖς θηρσὶ συμβακχεῦον, πάντων συγκινουμένων, καὶ συνεκπηδώντων· κατὰ δὲ συγκυρίαν ἡ Ἀγαυὴ δρομὰς φερομένη, ἐξεχώρησεν, ἔνθ' ἐγὼ ὑπενήδρευον καταδὺς, ἐγγὺς γενομένη· ἐμοῦ δ' ἐκπηδήσαντος αἴφνης ἐπ' αὐτὴν, ὡς συλλάβοιμι, ἀνεβόησεν ἐκείνη, ὦ κύνες, λέγουσα, πρὸς τὰς ἄλλας, θηρώμεθα ὑπ' ἀνδρῶν τουτωνί· ἀλλ' ἴθ' ὑμεῖς ὡς τάχος, ἕπεσθε σὺν θύρσοις ἐπ' ἐκείνους. Τούτων δὴ οὕτως παρακεκελευσμένων, φυγῇ ἐνεδώκαμεν αὐτοὶ ἑαυτοὺς, τὸν τῶν Βακχῶν ἀποκλίναντες σπαραγμόν· αἱ δὲ ἐπιπεσοῦσαι ταῖς βουσὶ νεμομέναις, τί οὐκ ἐποίουν; ἀόπλοις μὲν ἐπιθέμεναι χερσὶν, ἀλλ' ὅμως διεσπάραττον ἐκείνας· ἡ μὲν γάρ τις αὐτῶν εὔθηλον βοῦν μυκωμένην λαβοῦσα, διέρρηξε μέσην· ἡ δὲ, δάμαλιν συλλαβοῦσα, δίχα διεῖλεν· καὶ ἄλλη ἄλλην ὁμοίως· εἶδες γὰρ ἂν πλευρά τε καὶ πόδας ἄνω καὶ κάτω διασφενδονώμενα, κἀπὸ τῶν ἐλατῶν ἐξηρτημένα, ἤδη

---

σαν κακῶς ἐν ἄλλοις κεῖται. 695. Πόριν] ἥτις καὶ Πόρτη λέγεται, βοῦν εὔμαστον

Ταῦροι δ' ὑβρισταὶ κεὶς κέρας θυμούμενοι.
Τὸ πρόσθεν ἐσφάλλοντο πρὸς γαῖαν δέμας,
Μυριάσι χειρῶν ἀγόμενοι νεανίδων.
Θᾶσσον δὲ διεφοροῦντο σαρκὸς ἐνδυτὰ,
Ἢ σὲ ξυνάψαι βλέφαρα βασιλείοις κόραις.
Χωροῦσι δ', ὥστ' ὄρνιθες ἀρθεῖσαι δρόμῳ,
Πεδίων ὑποτάσεις, αἳ παρ' Ἀσωποῦ ῥοαῖς
Εὔκαρπον ἐκβάλλουσι Θηβαίων στάχυν,
Ὑσίας δ', Ἐρυθράς θ', αἳ Κιθαιρῶνος λέπας
Νέρθεν κατῳκήκασιν, ὥστε πολέμιοι,
Ἐπεσπεσοῦσαι, πάντ' ἄνω τε καὶ κάτω
Διέφερον· ἥρπαζον μὲν ἐκ δόμων τέκνα,
Ὁπόσα δ' ἐπ' ὤμοις ἔθεσαν, οὐ δεσμῶν ὕπο
Προσείχετ', οὐδ' ἔπιπτεν ἐς μέλαν πέδον,
Οὐ χαλκὸς, οὐ σίδηρος· ἐπὶ δὲ βοστρύχοις
Πῦρ ἔφερον, οὐδ' ἐκάεθ'· οἱ δ' ὀργῆς ὕπο
Ἐς ὅπλ' ἐχώρουν, φερόμενοι Βακχῶν ὕπο·
Οὗπερ τὸ δεινὸν ἦν θέαμ' ἰδεῖν, ἄναξ.
Τῶν μὲν γὰρ οὐχ ἥμασσε λογχωτὸν βέλος,
Κεῖναι δὲ, θύρσους ἐξανιεῖσαι χερῶν,
Ἐτραυμάτιζον, κἀπενώτιζον φυγῇ
Γυναῖκες ἄνδρας οὐκ ἄνευ θεῶν τινος.
Πάλιν δ' ἐχώρουν, ὅθεν ἐκίνησαν πόδα,
Κρήνας ἐπ' αὐτὰς, ἃς ἀνῆκ' αὐταῖς θεός.
Νίψαντο δ' αἷμα, σταγόνα δ' ἐκ παρηΐδων
Γλώσσῃ δράκοντες ἐξεφαίδρυνον χροός.
Τὸν δαίμον' οὖν τόνδ', ὅστις ἔστ', ὦ δέσποτα,
Δέχου πόλει τῇδ', ὡς τά τ' ἄλλ' ἔστιν μέγας,

SISMANOGLIO MEGARO



ἀποστάζοντα αἵματος· ταῦροι δὲ, αὐτοὶ δὴ οἱ ἐκ κέρως ἰσχυροῦ τὸ πρὶν δοκοῦντες ἀνυπόστατοι εἶναι, ὑπὸ μυρίων ὅσων χειρῶν ἅμ' ἀγόμενοι καὶ φερόμενοι, ἔπιπτον· καὶ θᾶττον, ἢ ῥιπὴ ὀφθαλμοῦ, ἐξεσπῶντο τὰς βύρσας· Ἐκ δ' οὖν τούτων δρόμῳ φερόμεναι, ὥσπερ ὄρνιθες ἀθρόαι ἀπὸ τῶν ὀρεινῶν ἐς τὰ πεδινὰ, τὴν τὸν Ἀσωπὸν παρατείνουσαν εὔκαρπον ἄρουραν, καὶ εἰσπεσοῦσαι εἰς Ὑσίας καὶ Ἐρυθρὰς τὰς ὑπὸ τῷ Κιθαιρῶνι κατῳκημένας, ἐξεπόρθουν, τὰ τῶν πολιτῶν αὐτοῦ ἀναρπάζουσαι τέκνα· ἃ δ' ἥρπαζον λάφυρα, τοῦτ' ἐπ' ὤμων ἀράμεναι, οὐ συνήρτουν δεσμοῖς, ἀλλ' ἦν θαῦμ' ὁρᾷν ἐκεῖνα ἐλευθέρως μὲν ἐπ' αὐτῶν αἰωρούμενα, μὴ καταπίπτοντα δὲ, εἴτε χαλκὸς ταῦτ', εἴτε σίδηρος εἴη· οὐδ' οἱ βόστρυχες αὐτῶν ἐπὶ τῆς κεφαλῆς κατεφλέγοντο ὑπὸ τοῦ πυρὸς, ὃ ἐτύγχανον ἐπιφέρουσαι· ἐπεὶ δέ ποθ' οἱ πολῖται χαλεπήναντες, ἐφ' οἷς ἔπασχον, ἐτράπησαν εἰς ἀλκὴν, ἐνταῦθα μάλιστα πάντων ἦν ἰδεῖν παράδοξον θέαμα· τῶν μὲν γὰρ τὰ βέλη ἐξέπιπτον ἄπρακτα· τῶν δὲ οἱ θύρσοι βαλλόμενοι, καιρίως ἐτίτρωσκον· καὶ οὕτω γυναῖκες ἀνδράσιν εἰς χεῖρας ἐλθοῦσαι, ἔτρεψαν εἰς φυγὴν, τὸ ἀσθενὲς τὸ ἀνδρεῖον, ἅτε δὴ θεὸν ἔχουσαι σύμμαχον. Οὕτω δὴ στήσασαι τρόπαιον, ἀνεχώρησαν, ὅθεν ἦλθον, ἐπὶ τὰς πηγὰς ἐκείνας, ἃς ἀνέδωκεν αὐταῖς ὁ θεός· ὅπου δὴ ἀπομορξαμένων τὸν λύθρον, οἱ ὄφεις περιλείχοντες αὐτῶν τὸν ἱδρῶτα ἀπὸ τῶν παρειῶν, ἐκάθαιρον αὐταῖς τὰ περὶ τὸ πρόσωπον. Σὺ τοίνυν, ὦ δέσποτα, δέξαι τῇ πόλει τὸν θεὸν, ἔμοιγε πειθόμενος,

Κἀκεῖνό φασιν αὐτὸν, ὡς ἐγὼ κλύω,
Τὴν παυσίλυπον ἄμπελον δοῦναι βροτοῖς.
Οἴνου δὲ μηκέτ᾽ ὄντος, οὐκ ἔστιν Κύπρις,
Οὐδ᾽ ἄλλο τερπνὸν οὐδὲν ἀνθρώποις ἔτι.

ΧΟ. Ταρβῶ μὲν εἰπεῖν τοὺς λόγους ἐλευθέρους
Ἐς τὸν τύρανον, ἀλλ᾽ ὅμως εἰρήσεται·
Διόνυσος ἥσσων οὐδενὸς θεῶν ἔφυ.

ΠΕ. Ἤδη τόδ᾽ ἐγγὺς, ὥστε πῦρ, ἐφάπτεται
Ὕβρισμα Βακχῶν, ψόγος ἐς Ἕλληνας μέγας.
Ἀλλ᾽ οὐκ ὀκνεῖν δεῖ· στεῖχ᾽ ἐπ᾽ Ἠλέκτρας ἰὼν
Πύλας· κέλευε πάντας ἀσπιδηφόρους,
Ἵππων τ᾽ ἀπαντᾷν ταχυπόδων ἐπεμβάτας,
Πέλτας θ᾽ ὅσοι πάλλουσι, καὶ τόξων χερὶ
Ψάλλουσι νευρὰς, ὡς ἐπιστρατεύσομεν
Βάκχαισιν· οὐ γὰρ, ἀλλ᾽ ὑπερβάλλει τάδε,
Εἰ πρὸς γυναικῶν πεισόμεσθ᾽, ἃ πάσχομεν.

ΔΙ. Πείθῃ μὲν οὐδὲν, τῶν ἐμῶν λόγων κλύων,
Πενθεῦ· κακῶς δὲ πρὸς σέθεν πάσχων, ὅμως
Οὔ φημι χρῆναι σ᾽ ὅπλ᾽ ἐπαίρεσθαι θεῷ,
Ἀλλ᾽ ἡσυχάζειν, Βρόμιος οὐκ ἀνέξεται
Κινοῦντα Βάκχας εὐΐων ὀρῶν ἄπο.

---

740. Ψάλλουσι νευρὰς] τὸ ψαύειν τῆς χορδῆς, καὶ ἀφιέναι αὐτὴν πάλιν, ὥστε κινουμένην ἦχον ποιὸν ἐκτελεῖν, τοῦτό ἐστι τὸ ψάλλειν. 741. Οὐ γάρ.] οὐ γὰρ μικρὰ, οὐδὲ φορητὰ 744. Κακῶς πάσχων] ἔκτε τούτου καὶ ἐξ ἄλλων πολλῶν δῆλον, ὅτι τὰ περὶ τὰ πρόσωπα συγκέχυται ἐν ἄλλοις· ὁ γὰρ



ὅστις εἴη ποθ᾽ οὗτος· τάτε γὰρ ἄλλα μέγας ἐστὶ, καὶ δὴ καὶ τὴν παυσίλυπον ἄμπελον, ὡς ἀκούω, τοῦτόν φασι παρασχεῖν τοῖς ἀνθρώποις· οἴνου γὰρ ἀναιρεθέντος, συναναιρεῖται καὶ ἡ Κύπρις, καὶ πᾶν τερπνὸν ἐν τῷ βίῳ.

ΧΟ. Δέος μὲν ὕπεστι παῤῥησίᾳ πρὸς τύραννον χρήσασθαι· ἀλλ᾽ οὖν εἰρήσεται. Διόνυσος γὰρ οὐδενὸς τῶν θεῶν ἥττων ἔφυ.

ΠΕ. Ὁρῶ τὴν τῶν Βακχῶν ταύτην ὕβριν, ἣ μέγιστον αἶσχος τοῖς Ἕλλησιν ἔσται, ἐγγὺς ἡμῶν, ὥσπερ πῦρ, ἤδη ἐφαπτομένην· ἀλλ᾽ οὐκ ἀμελητέον, ἀλλ᾽ ἐπιχειρητέα ἂν εἴη ἡμῖν ὅσον τάχος. Ἴθι σὺ ἐπὶ τὰς Ἠλέκτρας, κέλευε πάντας ὁπλίτας τε καὶ πελταστὰς, τοξότας τε καὶ ἱππέας ἀπαντᾷν μοι πρὸς ἐκστρατείαν· τὸ γὰρ ὑπὸ γυναικῶν τοιαῦτα πάσχειν οὐδεμίαν ὑπερβολὴν ἀπολείπει αἰσχύνης.

ΔΙ. Πενθεῦ, ἔοικας μηδὲν πείθεσθαι τοῖς ὑπ᾽ ἐμοῦ εἰρημένοις· ἐγὼ δὲ καίτοι κακῶς πρὸς σοῦ πάσχω, ἀλλ᾽ οὐκ ἂν ἀπαξιώσαιμι κἀκεῖνο τοῖς εἰρημένοις προσθεῖναι, μὴ λακτίζειν πρὸς θεὸν παραβόλως, μηδ᾽ ἀνταίρειν δόρυ, ἀλλ᾽ ἡσυχίαν ἄγειν σωφρονοῦντα. Βρόμιος γὰρ οὐκ ἀνέξεται, ὁρῶν σε ἀποσοβοῦντα τὰς Βάκχας ἐκ τοῦ ὄρους.

---

Ἄγγελος οὐδέν ἐστι πεπονθὼς οὐδὲ πάσχων ὑπὸ τοῦ Πενθέως· τοιοῦτος δ᾽ ἐστὶν ὁ Διόνυσος· ἐντεῦθεν τοίνυν μέχρι τοῦ Χοροῦ ἀντὶ τοῦ Ἀγγέλου εἰσακτέον τὸ πρόσωπον τοῦ Διονύσου, ὡς ὁρᾷς καὶ ἄντικρυς ἐν τῇ παραφράσει· ἄλλως

ΠΕ. Οὐ μὴ φρενώσεις μ', ἀλλὰ δέσμιος φυγὼν,
Σώσει τόδ', ἤ σοὶ πάλιν ἀναστρέψω δίκην.
ΔΙ. Θύοιμ' ἂν αὐτῷ μᾶλλον, ἢ θυμούμενος
Πρὸς κέντρα λακτίζοιμι, θνητὸς ὢν, θεῷ.
ΠΕ. Θύσω, φόνον γε θῆλυν, ὥσπερ ἄξιαι,
Πολὺν ταράξας ἐν Κιθαιρῶνος πτυχαῖς.
ΔΙ. Φευξεῖσθε πάντες, καὶ τόδ' αἰσχρὸν, ἀσπίδας
Θύρσοισι Βακχῶν ἐκτρέπειν χαλκηλάτους.
ΠΕ. Ἀπόρῳ γε τῷδε συμπεπλέγμεθα ξένῳ,
Ὡς οὔτε πάσχων, οὔτε δρῶν σιγήσεται.
ΔΙ. Ὦ τᾶν, ἔτ' ἔστιν εὖ καταστῆσαι τάδε.
ΠΕ. Τί δρῶντα; δουλεύοντα δουλείαις ἐμαῖς;
ΔΙ. Ἐγὼ γυναῖκας δεῦρ' ὅπλων ἄξω δίχα.
ΠΕ. Οἴμοι! τόδ' ἤδη δόλιον ἔς με μηχανᾷ.
ΔΙ. Ποῖόν τι, σῶσαί σ' εἰ θέλω τέχναις ἐμαῖς;
ΠΕ. Ξυνέθεσθε κοινῇ τάδ', ἵνα βακχεύητ' ἀεί.
ΔΙ. Καὶ μὴν ξυνεθέμην, τοῦτό γ' ἴσθι, τῷ θεῷ.
ΠΕ. Ἐκφέρετέ μοι δεῦρ' ὅπλα· σὺ δὲ παῦσαι λέγων.
ΔΙ. (Ἆ·) βούλει σφ' ἐν ὄρεσι συγκαθημένας ἰδεῖν;
ΠΕ. Μάλιστα, μυρίον γε δοὺς χρυσοῦ σταθμόν.
ΔΙ. Τί δ' εἰς ἔρωτα τοῦδε πέπτωκας μέγαν;
ΠΕ. Λυπρῶς νιν εἰσίδοιμ' ἂν ἐξοινωμένας.
ΔΙ. Ὅμως δ' ἴδοις ἂν ἡδέως, ἅ σοι πικρά;

---

γὰρ οὐκ ἂν ἔχοι ὑγιῶς. 749. Σώσει τόδε.] πολλαχῶς οἱ ἀρχαῖοι ἐπειράθησαν διορθῶσαι τὸ χωρίον τοῦτο διεφθαρμένον. ὃ δέ τις αὐτῶν ἔοικεν ἄμεινον εἰκάσαι, ὧδε ἔχει.

» Οὐ μὴ φρενώσεις μ', ἀλλὰ δέσμιος φυγὼν
» Δώσεις, ὅταν σοι πάλιν ἀναστρέψω, δίκην·



ΠΕ. Φρενῶν μὲν ἔγωγ' οὐ δέομαι παρὰ σοῦ· σὲ δὲ, φυγόντα τὰ δεσμὰ, χρὴ δοῦναί μοι δίκην, ἐπειδὰν τάχιστα ἐπιστρέψω.

ΔΙ. Ἐγὼ δὲ θύοιμ' ἂν μᾶλλον τῷ θεῷ, ἢ θνητὸς ὢν, πρὸς ὀργὴν θεομαχοίμην.

ΠΕ. Θύσω γ' αὐτίκα μάλα, πολὺν φόνον Βακχῶν, ὥσπερ ἐστὶν ἄξιον, ἐν ταῖς τοῦ Κιθαιρῶνος ποιήσας κοιλάσι.

ΔΙ. Ἀλλὰ φευξεῖσθε ἅπαντες ἐν τῇ μάχῃ· καὶ τοῦτ' ἐστὶν ὑμῖν αἰσχρὸν, ἀσπίδας σιδηρᾶς ὑπὸ Βακχικῶν ἀνασπαλῆναι θύρσων.

ΠΕ. Ὡς ἀμηχάνῳ καὶ ἀργαλέῳ, τῷ ξένῳ τούτῳ, συμπεπλέγμεθα δαίμονι· οὔτε γὰρ πάσχων, οὔτε δρῶν, σιγὴν ἔχει.

ΔΙ. Ἀλλ', ὦ τᾶν, ἔξεστί σοι ἔτι εὖ διαθέσθαι ταῦτα.

ΠΑ. Πῶς; ἢ δουλεύοντα ταῖς ἐμοὶ δουλευούσαις;

ΔΙ. Ἐγὼ ἄξω σοι ὧδε τὰς γυναῖκας ἄνευ ὅπλων.

ΠΕ. Οἴμοι! καὶ τοῦτο γάρ μοι μηχανὴν δηλοῖ πρὸς δόλον.

ΔΙ. Πῶς γὰρ, εἴγε σε τέχνῃ τῇ ἐμῇ βουλοίμην σῶσαι;

ΠΕ. Ἐκ συνθήκης ἡ σκευωρία, ὥστε συνεκβακχεύειν.

ΔΙ. Ἀληθῶς τῷ θεῷ συνεθέμην ποιεῖν τοῦτο.

ΠΕ. Ἅλις τῶν λήρων. Ἐκφέρετέ μοι τὰ ὅπλα.

ΔΙ. Ἆ! θέλεις ἰδεῖν ἐκείνας ἀθρόας ἐν τῷ ὄρει;

ΠΕ. Καὶ πολλοῦ γ' ἂν ἔγωγε πριαίμην τοῦτο.

ΔΙ. Ἀλλὰ τίς ἔρως οὗτος δεινὸς αἱρεῖ σε τούτου;

ΠΕ. Οἰκτρῶς γὰρ ἂν εὕροιμι αὐτὰς ἐξοινωμένας.

ΔΙ. Τί δέ; ἴδοις ἂν ἡδέως, ὃ σοὶ οἰκτρόν γε ἔσται;

ΠΕ. Σάφ' ἴσθι, σιγῇ γ' ὑπ' ἐλάταις καθήμενος.
ΔΙ. Ἀλλ' ἐξιχνεύσουσίν σε, κἂν θέλῃς λάθρα.
ΠΕ. Ἀλλ' ἐμφανῶς· καλῶς γὰρ ἐξεῖπας τάδε.
ΔΙ. Ἄγω μὲν οὖν σε, κἀπιχειρήσεις ὁδῷ;
ΠΕ. Ἄγ' ὡς τάχιστα, τοῦ χρόνου δέ σ' οὐ φθονῶ.
ΔΙ. Στεῖλαί νυν ἀμφὶ χρωτὶ βυσσίνους πέπλους.
ΠΕ. Τί δὴ τόδ'; ἐς γυναῖκας ἐξ ἀνδρὸς τελῶ;
ΔΙ. Μή σε κτάνωσιν, ἢν ἀνὴρ ὀφθῇς ἐκεῖ.
ΠΕ. Εὖ γ' εἶπας αὐτὸ, καί τις εἶ πάλαι σοφός.
ΔΙ. Διόνυσος ἡμᾶς ἐξεμούσωσεν τάδε.
ΠΕ. Πῶς οὖν γένοιτ' ἂν, ἃ σύ με νουθετεῖς, καλῶς;
ΔΙ. Ἐγὼ στελῶ σε, δωμάτων ἔσω μολών.
ΠΕ. Τίνα στολήν; ἦ θῆλυν; ἀλλ' αἰδώς μ' ἔχει.
ΔΙ. Οὐκέτι θεατὴς Μαινάδων πρόθυμος εἶ.
ΠΕ. Στολὴν δὲ τίνα φὴς ἀμφὶ χρῶτ' ἐμὸν βαλεῖν;
ΔΙ. Κόμην μὲν ἐπὶ σῷ κρατὶ ταναὸν ἐκτενῶ.
ΠΕ. Τὸ δεύτερον δὲ σχῆμα τοῦ κόσμου τί μοι;
ΔΙ. Πέπλοι ποδήρεις· ἐπὶ κάρᾳ δ' ἔσται μίτρα.
ΠΕ. Ἦ καί τι πρὸς τοῖσδ' ἄλλο προσθήσεις ἐμοί;
ΔΙ. Θύρσον τε χειρὶ καὶ νεβροῦ στικτὸν δέρας.
ΠΕ. Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν.
ΔΙ. Ἀλλ' αἷμα θήσεις, ξυμβαλὼν Βάκχαις μάχην.
ΠΕ. Ὀρθῶς· μολεῖν χρὴ πρῶτον ἐς κατασκοπήν.
ΔΙ. Σοφώτερον γοῦν, ἢ κακοῖς θηρᾶν κακά.
ΠΕ. Καὶ πῶς δι' ἄστεος εἶμι Καδμείους λαθών;
ΔΙ. Ὁδοὺς ἐρήμους ἴμεν· ἐγὼ δ' ἡγήσομαι.
ΠΕ. Πᾶν κρεῖσσον, ὥστε μὴ 'γγελᾶν Βάκχας ἐμοί.
Ἐλθόντ' ἐς οἴκους, ἃ ἂν δοκῇ, βουλεύσομεν.

SISMANOGLIO



ΠΕ. Μάλιστά γε, ὑπὸ ταῖς ἐλάταις ἐφησυχάζων.
ΔΙ. Ἀλλὰ καὶ κρυβέντα γε ἐξιχνιάσουσί σε.
ΠΕ. Οὐκοῦν ἐμφανῶς· ἐπεὶ κελεύεις οὕτω.
ΔΙ. Βούλει τοίνυν ἡγήσωμαί σοι πρὸς ἐκείνας;
ΠΕ. Πῶς γὰρ οὔ; καὶ ἐπαινῶ σε τῆς προθυμίας.
ΔΙ. Οὐκοῦν δεῖ σε βύσσινα περιβαλέσθαι.
ΠΕ. Πῶς ἂν ἐξ ἀνδρὸς εἰς γυναῖκα μεταμορφοίμην;
ΔΙ. Ἀνὴρ γὰρ φανεὶς αὐταῖς, ἀποκινδυνεύσεις.
ΠΕ. Ἔγνων σε νῦν καὶ πάλαι σοφὸν ὄντα.
ΔΙ. Καὶ γὰρ διδασκάλῳ χρώμεθα Διονύσῳ.
ΠΕ. Ἀλλὰ πῶς ἂν εἴη μοι καλῶς γενέσθαι ταῦτα;
ΔΙ. Ἐγὼ κοσμήσω σε, εἰσελθὼν εἰς τὴν οἰκίαν.
ΠΕ. Γυναικείαν στολὴν μεταλαβεῖν αἰδώς με ἔχει.
ΔΙ. Οὐκ ἄρα βούλει ἰδεῖν ποτὲ τὰς Βάκχας.
ΠΕ. Τὸν δὲ τρόπον τῆς στολῆς τίνα φὴς εἶναι;
ΔΙ. Κόμην μὲν ἐπὶ κεφαλῆς σοι καθήσω ἐπιμήκη.
ΠΕ. Ἐπὶ δὲ ταύτῃ τίν' ἐπιθήσεις κόσμον;
ΔΙ. Πέπλον ποδήρη, κἀπὶ τῆς κεφαλῆς μίτραν.
ΠΕ. Ἐπὶ δὲ τούτοις τί ἐπιπροσθήσεις ἔτι;
ΔΙ. Θύρσον τῇ χειρὶ, καὶ τὴν στικτὴν νεβρίδα,
ΠΕ. Οὐκ ἂν δυναίμην οὕτω μεταμορφοῦσθαι.
ΔΙ. Ἄλλως γὰρ κακῶς πείσῃ, συμμίξας ταῖς Μαινάσι.
ΠΕ. Οὐκοῦν χρὴ με κατασκοπῆσαι πρῶτον.
ΔΙ. Ἄμεινον γὰρ, ἢ πατάλοις ἐκκρούειν τοὺς παττάλους.
ΠΕ. Ἀλλὰ πῶς ἂν λάθοιμι ἐξελθὼν τοὺς Θηβαίους;
ΔΙ. Ἐγὼ δὴ δι' ἐρήμων ἡγήσομαί σοι.
ΟΕ. Τὸ πᾶν γενέσθω, ὥστε μὴ ἐγγελᾶν μοι τὰς Βάκχας· ἀλλ'
ὥρα σκέψασθαι περὶ τούτων εἰσελθόντας ἔνδον.

ΔΙ. Ἔξεστι πάντῃ· τόγ᾽ ἐμὸν εὐτρεπὲς πάρα.
ΠΕ. Στείχοιμ᾽ ἄν· ἢ γὰρ ὅπλ᾽ ἔχων πορεύσομαι,
Ἢ τοῖσι σοῖσι πείσομαι βουλεύμασιν.
ΔΙ. Γυναῖκες ὡνὴρ ἐς βόλον καθίσταται·
Ἥξει δὲ Βάκχας, οὗ θανὼν δώσει δίκην.
Διόνυσε, νῦν σὸν ἔργον· οὐ γὰρ εἶ πρόσω.
Τισώμεθ᾽ αὐτόν· πρῶτα δ᾽ ἔκστησον φρενῶν,
Ἐνεὶς ἐλαφρὰν λύσσαν· ὡς, φρονῶν μὲν εὖ,
Οὐ μὴ θελήσει θῆλυν ἐνδῦναι στολὴν,
Ἔξω δ᾽ ἐλαύνων τοῦ φρονεῖν, ἐνδύσεται.
Χρῄζω δένιν γέλωτα Θηβαίοις ὄφλειν,
Γυναικόμορφον ἀγόμενον δι᾽ ἄστεως
Ἐκ τῶν ἀπειλῶν τῶν πρὶν, αἷσι δεινὸς ἦν.
Ἀλλ᾽ εἶμι κόσμον, ὅνπερ εἰς ᾍδου λαβὼν
Ἄπεισι, μητρὸς ἐκ χεροῖν κατασφαγεὶς,
Πενθεῖ προσάψων· γνώσεται δὲ τὸν Διὸς
Διόνυσον, ὃς πέφυκεν ἐν τέλει θεὸς
Δεινότατος, ἀνθρώποισι δ᾽ ἠπιώτατος.
ΧΟ. Ἆρ᾽ ἐν παννυχίοις χοροῖς (Στρ.)
Θήσω ποτὲ λευκὸν πόδ᾽ ἀ-
Ναβακχεύουσα, δέρην
Εἰς αἰθέρα δροσερὸν
Ῥίπτουσ᾽, ὡς νεβρὸς χλοεραῖς
Ἐμπαίζουσα λείμακος ἡ-
Δοναῖς, ἡνίκ᾽ ἂν φοβερὸν φύγῃ
Θήραμ᾽ ἔξω φυλακᾶς
Εὐπλέκτων ὑπὲρ ἀρκύων.
Θωΰσσων δὲ κυναγέτας,



ΔΙ· Κἀμοὶ δοκεῖ· ἕτοιμός εἰμι πρὸς ταῦτα.

ΠΕ. Ἰτέον οὖν· δυοῖν γὰρ θάτερον, ἢ ὅπλα λαβὼν ἐπιστρατεύσω, ἢ τοῖς σοῖς ἕψομαι παραγγέλμασι.

ΔΙ· Οὐκοῦν ὁρᾶθ᾽ ὑμεῖς, εἰς οἵας ἄρκυς ὁ ἀνὴρ μέλει ἐμπεσεῖσθαι αὐτίκα μάλα. ἥξει γὰρ ἐς Βάκχας πρὸ τὸ ὄρος, ἔνθα καταστρέψας δίκην ἀξίαν δώσει· Ἐπὶ σοὶ τοίνυν ἐντεῦθέν ἐστιν, ὦ Διόνυσε, τίσασθαι τοῦτον· οὐ γὰρ πόῤῥω τυγχάνεις ἑστηκώς· καὶ πρῶτον ἔξελε αὐτῷ τὰς φρένας, μικρὸν ἐνθεὶς μανίας· ἄλλως γὰρ οὐκ ἂν δέξαιτο γυναικεῖον ἀμφιέσασθαι κόσμον· βουλοίμην γὰρ ἂν, τῶν σοβαρῶν ἐκείνων ἀπειλῶν ἐπιλελησμένον, γέλωτ᾽ αὐτὸν γενέσθαι τοῖς Θηβαίοις, διὰ τῆς πόλεως γυναικόμορφον ἐκπομπεύσαντα. Ἀλλ᾽ εἶμι περιβαλῶν ἐκείνῳ, ὃν ἐς ᾅδου καταβήσεται ἔχων κόσμον, ὑπὸ τῆς ἑαυτοῦ μητρὸς διασπαραχθεὶς, ἵνα μάθῃ Διόνυσον δεινότατον μὲν ἐν τελεταῖς, ἀνθρώποις δὲ ἠπιώτατον ὄντα·

ΧΟ· Ἆρ᾽ ἔσται, ὅτε χορεύσω ἐν Βακχείαις, κούφῳ ποτὲ ποδὶ ῥιψαύχην ἁλλομένη, ὥσπερ ἔλαφος, ταῖς τῶν λειμώνων ἡδοναῖς ἐντρυφῶσα, ἡνίκ᾽ ἐκφύγῃ τῶν θηρευτῶν τὰς ἄρκυς, καὶ τοῦ κυνηγέτου κατόπιν σὺν παρακε-

820. Δέρην εἰς αἰθέρα δροσερὸν] ἄμεινον ἂν εἴη πρὸς τὸ μέτρον, εἰ γράψαιμεν, ἀναςρέψαντες μικρὸν τὰ αὐτὰ, ὡδί. Δέρην αἰθέρ᾽ εἰς δροσερὸν, ὅ ἐςαι σύμμετρον τῷ ἐν τῇ Ἀντισροφῇ, Βροτῶν τοὺς τ᾽ ἀγνωμοσύνᾳ ὡς παρ᾽ ἄλλοις.

Συντείνῃ δρόμημα κυνῶν,
Μόχθοις τ', ὠκυδρόμοις τ'
Ἀέλλαις θρώσκῃ πεδίον
Παραποτάμιον, ἡδομένα
Βροτῶν ἐρημίαις,
Σκιαροκόμου τ' ἐν ἔρνεσιν ὕλας;
Τί τὸ σοφὸν, ἢ τί τὸ κάλλιον
Παρὰ θεῶν γέρας ἐν βροτοῖς,
Ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
Τῶν ἐχθρῶν κρείσσω κατέχειν;
Ὅ, τι καλὸν, φίλον αἰεί.
Ὁρμᾶται μόλις, ἀλλ' ὅμως (Ἀντ.)
Πιστόν τό γε θεῖον σθένος·
Ἀπευθύνει δὲ βροτῶν
Τούς τ' ἀγνωμοσύνᾳ
Τιμῶντας, καὶ μὴ τὰ θεῶν
Αὔξοντας σὺν μαινομένᾳ
Δόξᾳ· κρυπτεύουσι δὲ ποικίλως
Δαρὸν χρόνου πόδα, καὶ
Θηρῶσιν τὸν ἄσεπτον· οὐ
Γὰρ κρεῖσσόν ποτε τῶν νόμων
Γιγνώσκειν χρὴ καὶ μελετᾷν.
Κούφα γὰρ δαπάνα
Νομίζειν ἰσχὺν τόδ' ἔχειν,
Ὅ, τι ποτ' ἄρα τὸ δαιμόνιον·
Τό, τ' ἐν χρόνῳ μακρῷ
Νόμιμον, ἀεὶ φύσει τί πεφυκός.
Τί τὸ σοφὸν, ἢ τί τὸ κάλλιον
Παρὰ θεῶν γέρας ἐν βροτοῖς,
Ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
Τῶν ἐχθρῶν κρείσσω κατέχειν;
Ὅ, τι καλὸν, φίλον αἰεί.
Εὐδαίμων μὲν, ὃς ἐκ θαλάσσας (Ἐπῳδ.)
Ἔφυγε κῦμα, λιμένα δ' ἔκιχεν·

SISMANOGLIO



λεύσει ἐπαφέντος τὰς κύνας, θέῃ παρὰ τοὺς ποταμοὺς ἴσῳ τοῖς ἀνέμοις τάχει, ἐρημίᾳ καὶ εὐσκίοις χωρίοις χαίρουσα μάλιστα; Τί σοφόν; ἢ τί κάλλιον παρὰ τῶν θεῶν ἀνθρώποις δῶρον, ἢ τὴν ἑαυτοῦ χεῖρα ὑπὲρ κεφαλῆς τῶν ἐχθρῶν κατέχειν κρείττω; πᾶν ὅ,τι καλὸν, τοῦτ' ἀεὶ καὶ φίλον τοῖς ἀνθρώποις.

Τὸ γὰρ τοῦ θεοῦ πανσθενὲς μέλλει μὲν πολλάκις, ἀλλὰ πάντως μετέρχεται, οὓς ἂν τῶν θνητῶν αἴσθηται ἀγνώμονας ὄντας, καὶ σὺν μανίᾳ μὴ σέβοντας τὸ θεῖον· οἱ γὰρ θεοὶ, καίτοι βαίνουσι πολλάκις ἀφανῶς, ἀλλ' οὐκ ἀπέχονται τῷ χρόνῳ διώκειν τὸν ἀσέβειαν ἀσκοῦντα· οὐ γὰρ δεῖ οὔτε φρονεῖν, οὔτε μελετᾷν τι τῶν νόμων κρεῖττον· τίς γὰρ πόνος; ἢ τὶς ζημία δυνατὸν εἶναι τὸ θεῖον ὑπολαμβάνειν ὅ,τι ποτ' ἂν ᾖ τοῦτο; καὶ τὸ ἐκ παλαιῶν χρόνων νομισθὲν τοιοῦτον, τοῦτο πάντως πεφυκέναι τοιοῦτον; Τί σοφὸν, ἢ τί κρεῖττον βροτοῖς θεόθεν ἂν εἴη γέρας, ἢ ὑπὲρ κεφαλῆς τῶν ἐχθρῶν χεῖρα νικῶσαν ἔχειν; πᾶν γὰρ ὅ,τι ἂν ᾖ κλέος ἔχον, τοῦτ' ἀεὶ ἀρέσκει τοῖς ἀνθρώποις.

---

840. Ἀπευθύνει] παιδείαις εἰς τό ὀρθὸν μεταφέρει. 843. Μαινομένῃ] ἐνθουσιαστικῇ. 853. Τὶ πεφυκός] οὕτω μετέβαλον τὸ Τό εἰς τό Τί γνώμῃ καὶ ἄλλων.

Εὐδαίμων δ', ὃς ὕπερθε μόχθων
Ἐγένεθ'· ἑτέρα δ' ἕτερος ἕτερον
Ὄλβῳ καὶ δυνάμει παρῆλθεν·
Μυρίαι μυρίοισιν ἔτ' εἰσὶν
Ἐλπίδες· αἱ μὲν
Τελευτῶσιν ἐν ὄλβῳ
Βροτοῖς, αἱ δ' ἀπέβησαν·
Τὸ δὲ κατ' ἦμαρ ὅτῳ βίοτος
Εὐδαίμων, μακαρίζω.

## ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ

ΔΙΟΝΥΣΟΣ, ΠΕΝΘΕΥΣ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ.

ΔΙ. Σὲ, τὸν πρόθυμον ὄνθ', ἃ μὴ χρεὼν ὁρᾶν,
Σπεύδοντά τ' ἀσπούδαστα, Πενθέα λέγω,
Ἔξιθι πάροιθε δωμάτων, ὄφθητί μοι,
Σκευὴν γυναικὸς Μαινάδος Βάκχης ἔχων,
Μητρός τε τῆς σῆς καὶ λόχου κατάσκοπος·
Πρέπεις δὲ Κάδμου θυγατέρων μορφῇ μιᾷ.

ΠΕ. Καὶ μὴν ὁρᾶν μοι δύο μὲν ἡλίους δοκῶ,
Δισσὰς δὲ Θήβας, καὶ πόλισμ' ἑπτάστομον·
Καὶ ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖς,

868. Τὸ δὲ κατ' ἦμαρ] ἐν ἄλλοις κεῖται, Τοῦδε κατ' ἦμαρ. 870. Σὲ τὸν πρόθυμον δῆλον ὅτι Διόνυσος, κοσμήσας Πενθέα ἐντὸς Βακχῶς, καὶ ὅλως μεταβαλὼν εἰς



Εὐδαίμων μὲν, ὃς διαφυγὼν κίνδυνον ἐν θαλάσσῃ, εἰσῆλθεν εἰς λιμένα· εὐδαίμων δὲ καὶ ὃς κρείττων ἐγένετο τῶν πόνων· ἄλλος δ' ἄλλον πλούτῳ τε καὶ δυνάμει παρῆλθε· πολλαὶ δὲ πολλοῖς βόσκονται ἔτ' ἐλπίδες, ὧν αἱ μὲν αὐτοῖς εἰς εὐτυχὲς ἐκβαίνουσι τέλος, αἱ δὲ οἴχονται ἀποπτᾶσαι· ᾧδ' ὁ βίος ἀεὶ αὐτάρκης τε καὶ ἥσυχος, οὗτος μακαριώτατος ἂν εἴη πάντων.

## ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΔΙΟΝΥΣΟΣ, ΠΕΝΘΕΥΣ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ.

ΔΙ. Ὦ Πενθεῦ, σὲ καλῶ τὸν προθυμούμενον ἰδεῖν, ἃ οὐκ ἔδει, καὶ σπεύδοντα ποιεῖν, ἃ οὐκ ἐχρῆν, ἔξελθ', ἔξελθε τῶν σῶν δωμάτων, ὅπως ἴδωσε σκευὴν γυναικὸς Βάκχης ἔχοντα, ἐφ' ᾧ τῆς σῆς μητρὸς καὶ τῶν ἄλλων Μαινάδων γένῃ κατάσκοπος· δόξεις γὰρ ἐκ τῆς σκευῆς μία τῶν Κάδμου θυγατέρων μορφῇ γενέσθαι.

ΠΕ. Τί τοῦτο, δύο μὲν δοκῶ μοι ὁρᾶν ἡλίους· δύο δὲ Θήβας, τὴν ἑπτάπυλον πόλιν ταύτην· οὐδὲ μοι ταῦρος ὅλως δοκεῖς μοι ἡγεῖσθαι, κέρα ἐπὶ κεφαλῆς φύσας αἰ-

μανίαν βακχικὴν, ἐξῆλθε πρῶτος εἰς τὸν Χορὸν, κἀντεῦθεν ἐκκαλεῖται κἀκεῖνον 878. Ταῦρος] παράβαλε ταῦτα, οἷς εἴρηκεν ἀνωτέρω. στίχ. 100. διὸ καὶ

Καὶ σῷ κέρατε κρατὶ προσπεφυκέναι·
Ἀλλ' ἦ ποτ' ἦσθα θήρ; τεταύρωσαι γὰρ οὖν.
ΔΙ. Ὁ θεὸς ὁμαρτεῖ, πρόσθεν ὢν οὐκ εὐμενὴς,
Ἔνσπονδος ἡμῖν νῦν· ὁρᾷς, ἃ χρή σ' ὁρᾶν.
ΠΕ. Τί φαίνομαι δῆτ'; οὐχὶ τὴν Ἰνοῦς στάσιν,
Ἢ τὴν Ἀγαυῆς ἑστάναι μητρός γ' ἐμῆς;
ΔΙ. Αὐτὰς ἐκείνας εἰσορᾶν δοκῶ, σ' ὁρῶν.
Ἀλλ' ἐξ ἕδρας σοι πλόκαμος ἐξέστηχ' ὅδε,
Οὐχ ὡς ἐγώ νιν ὑπὸ μίτρᾳ καθήρμοσα.
ΠΕ. Ἔνδον προσείων αὐτὸν, ἀνασείων τε ἐγὼ,
Καὶ Βακχιάζων, ἐξ ἕδρας μεθώρμισα.
ΔΙ. Ἀλλ' αὐτὸν ἡμεῖς, οἷς σε θεραπεύειν μέλει,
Πάλιν καταστελοῦμεν· ἀλλ' ὄρθου κάρα.
ΠΕ. Ἰδοὺ, σὺ κόσμει· σοὶ γὰρ ἀνακείμεσθα δή.
ΔΙ. Ζῶναί τέ σοι χαλῶσι, κοὐχ ἑξῆς πέπλων
Στολίδες ὑπὸ σφυροῖσι τείνουσιν σέθεν.
ΠΕ. Κἀμοὶ δοκοῦσι παρά γε δεξιὸν πόδα·
Τἀνθένδε δ' ὀρθῶς παρὰ τένοντ' ἔχει πέπλος.
ΔΙ. Ἦπού με τῶν σῶν πρῶτον ἡγήσῃ φίλον,
Ὅταν παρὰ λόγον σώφρονας Βάκχας ἴδῃς;
ΠΕ. Πότερα δὲ θύρσον δεξιᾷ λαβὼν χερὶ,
Ἢ τῇδε, Βάκχῃ μᾶλλον εἰκασθήσομαι;
ΔΙ. Ἐν δεξιᾷ χρὴ, χἅμα δεξιῷ ποδὶ
Αἴρειν νιν· αἰνῶ δ', ὅτι μεθέστηκας φρενῶν.

---

καὶ εἰς τὴν πτέρναν καταλῆγον. ἐν εἰκόσιν ταυρόκερων παριστᾶσι τὸν θεόν. 881. Ὁμαρτεῖ] σὺν ἡμῖν ὁδεύει. ἀποδοτέον ἂν εἴη τοῦτο μᾶλλον τῷ προσώπῳ τοῦ Διονύσου, συναφθὲν προς τὸ ἑπόμενον. 899. Τένοντα] τὸ πλατὺ φησὶ μέρον τὸ ἀπὸ τῆς ἰγνύος ἀρχόμενον.



φνης· ἀλλ' ἄρ' ἦσθα θὴρ, ἐγὼ δὲ οὐκ ᾔδειν; ἢ νῦν πρῶτον εἰς ταύρου μετέβαλες φύσιν;

ΔΙ. Ὁ θεὸς ἔσθ' ὁ ἡγούμενος οὗτος, οὐ πάνυ μὲν πρότερον εὐμενής σοι, ἤδη δὲ ἔνσπονδός γε· νῦν γὰρ ἀληθῶς ὁρᾷς ἃ χρή.

ΠΕ. τίνι δοκῶ ἐοικέναι; οὐχ ὅμοιός εἰμι τῇ Ἰνοῖ, ἢ Ἀγαυῇ τῇ μητρί;

ΔΙ. Αὐτάς γ' ἐκείνας ἐν σοὶ δοκῶ ὁρᾶν· ἀλλ' ὁ βόστρυχος οὗτος χαλαρώτερος ἀφεθεὶς τοῦ προσήκοντος, ἐξέστη μικρὸν τῆς βάσεως, ἔνθ' ἐγὼ ὑπὸ τῇ μίτρᾳ εὖ μάλα προσηρμόκειν.

ΠΕ. Ἐγὼ ἔοικα παραλελυκέναι αὐτὸν, ἀνασείων καὶ κατασείων ἐν τῷ βακχεύειν ἔνδον.

ΔΙ. Ἀλλ' ἡμῶν ἔργον τοῦθ', οἷς μέλει σε μάλιστα νυμφαγωγεῖν, ἀποκαταστῆσαι αὐτὸν, περιστείλαντας ἐς τὸ προσῆκον πάλιν· ἀλλ' ἔπαρον τὴν σαυτοῦ κεφαλήν.

ΠΕ. Ἰδοὺ ἦρα· κόσμει ὡς οἶσθα· σοὶ γὰρ νῦν ἀφωσίωμαι.

ΔΙ. Ἀλλὰ καὶ αἱ ζῶναί σοι αἵδε εἰσὶ χαλαρώτεραι τοῦ προσήκοντος, καὶ αἱ τῶν πέπλων ἐπιπτυχαὶ οὐχ ὁμοίως οὐδ' ἴσως κατατείνουσιν ἐπὶ τὰ σφυρὰ πανταχόθεν.

ΠΕ. Κἀμοὶ τοιάνδε πως παρέχουσιν αἴσθησιν δεξιόθεν· τὰ δὲ ἐπὶ τάδε ὀρθῶς ἐπὶ τένοντ' αὐτὸν ποδηνεκὲς ἐπιτείνει τὸ κράσπεδον.

ΔΙ. Ἀλλ' ὅταν παρὰ δόξαν ἴδῃς σωφρονούσας τὰς Βάκχας, οὐ πρῶτον τῶν σαυτοῦ φίλων ἐμὲ ἡγήσῃ;

ΠΕ. Πότερον δὲ τῇ δεξιᾷ, ἢ τῇ λαιᾷ λαβὼν τὸν θύρσον, μᾶλλον εἰκασθήσομαι Βάκχῃ;

ΔΙ. Τῇ δεξιᾷ πάντως, καὶ ἅμα δεξιῷ ποδί προβάντα, χρὴ τοῦτον αἴρειν· ἐπαινῶ δ' οὖν σε νῦν, τῶν πρὶν φρενῶν ἤδη μεθεστηκότα.

ΠΕ. Ἆρ' ἂν δυναίμην τὰς Κιθαιρῶνος πτύχας
Αὐταῖσι Βάκχαις τοῖς ἐμοῖς ὤμοις φέρειν;
ΔΙ. Δύναι' ἄν, εἰ βούλοιο· τὰς δὲ πρὶν φρένας
Οὐκ εἶχες ὑγιεῖς, νῦν δ' ἔχεις, οἵας σὲ δεῖ.
ΠΕ. Μοχλοὺς φέρωμεν, ἢ χεροῖν ἀνασπάσω,
Κορυφαῖς ὑποβαλὼν ὦμον, ἢ βραχίονα;
ΔΙ. Μὴ σύ γε τὰ Νυμφῶν διολέσῃς ἱδρύματα,
Καὶ Πανὸς ἕδρας, ἔνθ' ἔχει συρίγματα.
ΠΕ. Καλῶς ἔλεξας· οὐ σθένει νικητέον
Γυναῖκας· ἐλάταισιν δ' ἐμὸν κρύψω δέμας.
ΔΙ. Κρύψῃ σὺ κρύψιν, ἥν σε κρυφθῆναι χρεὼν,
Ἐλθόντα δόλιον Μαινάδων κατάσκοπον.
ΠΕ. Καὶ μὴν δοκῶ σφᾶς, ἐν λόχμαις, ὄρνιθας ὡς,
Λέκτρων ἔχεσθαι, φιλτάτοις ἐν ἕρκεσιν.
ΔΙ. Οὐκοῦν ἐπ' αὐτὸ τοῦτ' ἀποστέλλῃ φύλαξ·
Λήψῃ δ' ἴσως σφᾶς, ἢν σὺ μὴ ληφθῇς πάρος.
ΠΕ. Κόμιζε διὰ μέσης με Θηβαίας χθονός·
Μόνος γάρ εἰμ' αὐτῶν ἀνὴρ τολμῶν τάδε.
ΔΙ. Μόνος σὺ πόλεως τῆς δ' ὑπερκάμνεις, μόνος·
Τοιγάρ σ' ἀγῶνες ἀναμένουσιν, οὓς ἐχρῆν.
Ἕπου δέ· πομπὸς δ' εἶμ' ἐγὼ σωτήριος.
Κεῖθεν δ' ἀπάξει σ' ἄλλος.
ΠΕ. Ἡ τεκοῦσά γε;
ΔΙ. Ἐπίσημον ὄντα πᾶσιν.
ΠΕ. Ἐπὶ τόδ' ἔρχομαι·

925. Ἐπίσημον] δίβολα ταῦτα, ἕτερα ἑτέρου αὐτῶν ἐννοοῦντος, τοῦ μὲν δόξαν, θατέρου δὲ τὸν ἀνασκολοπισμὸν τῆς κεφαλῆς.



ΠΕ. Ἆρα δυνήσομαι ἀναθέσθαι τὸν Κιθερῶνα αὐτοῖς Μαινάσι ἐπὶ τῶν ἐμαυτοῦ ὤμων;

ΔΙ. Τιδ' οὐχὶ, εἰ βουληθείης μόνον; τὰς δὲ πρὶν φρένας ὅμως οὐκ ὀρθὰς ἔχων, νῦν, ἃς σε δεῖν ἔχειν, ἔχεις.

ΠΕ. Πότερον μοχλοῖς, ἢ τοῖς βραχίοσιν ἀνασπάσω ἐκεῖνον, ὑποβαλὼν ταῖς κορυφαῖς τὸν ὦμον;

ΔΙ. Μὴ σύ γε· τῶν τε γὰρ Νυμφῶν τὰ ἐνδιαιτήματα ἀφανίσειας ἂν οὕτω, καὶ τὰ τοῦ Πανὸς ἀδράσματα, ἔνθα καθήμενος τῇ σύριγκι μελῳδεῖ, ἀνατρέψειας ἄρδην.

ΠΕ. Εὖ λέγεις· οὔκουν ῥώμῃ τὰς Βάκχας αἱρετέον, ἀλλὰ κρυβέντες ὑπὸ τοῖς ἐλάταις.

ΔΙ. Κρυβήσῃ πάντως, ἥν σε χρὴ καθάπαξ κρυβῆναι κρύψιν, σὺν δόλῳ ἐκείνας κατασκοποῦντα.

ΠΕ. Καὶ μὴν δοκῶ μοι αἱρήσειν αὐτὰς ἐν ταῖς τῶν λέκτρων λόχμαις, ὥσπερ ὄρνιθας ἐν ταῖς αὐτῶν φιλτάταις καλιαῖς.

ΔΙ. Κἀπὶ τούτῳ πορεύῃ φύλαξ, ὅπως μὴ διαφύγωσί σε· καὶ λήψῃ γ' ἐκείνας, εἰ μή τι φθαίης αὐτὸς ληφθεὶς ὑπ' ἐκείνων.

ΠΕ. Ἡγοῦμοι τοίνυν διὰ τῆς πόλεως, ἵν' εἰδῶσί με πάντες μόνον τολμῶντα ταῦτα.

ΔΙ. Μόνος γὰρ, σὺ μόνος τῆς πόλεως προμάχῃ· καὶ μόνον σὲ οἱ προσήκοντες ἀναμένουσιν ἀγῶνες· ἕπου μοι τοίνυν ἡγουμένῳ πρὸς σωτηρίαν· ἐκεῖθεν δ' ἕτερος κατάξει σε πάλιν δεῦρο.

ΠΕ. Τὴν ἐμὴν φῂς μητέρα;

ΔΙ. Περιβλεπόμενον ὑπὸ πάντων.

ΠΕ. Ἐς τοῦτο κἀγὼ σπεύδω.

ΔΙ. Φερόμενος ἥξεις.
ΠΕ. Ἀβρότητ᾽ ἐμὴν λέγεις.
ΔΙ. Ἐν χερσὶ μητρός.
ΠΕ. Καὶ τρυφᾶν μ᾽ ἀναγκάσεις;
ΔΙ. Τρυφάς γε τοιάσδ᾽.
ΠΕ. Ἀξίων μὲν ἅπτομαι.
ΔΙ. Δεινὸς σὺ, δεινὸς, κἀπὶ δείν᾽ ἔρχῃ πάθη,
Ὥστ᾽ οὐρανῷ στηρίζον εὑρήσεις κλέος.
Ἔκτειν᾽, Ἀγαυὴ χεῖρας, αἵ θ᾽ ὁμόσποροι
Κάδμου θυγατέρες· τὸν νεανίαν ἄγω
Τόνδ᾽ εἰς ἀγῶνα μέγαν· ὁ νικήσων δ᾽ ἐγὼ
Καὶ Βρόμιος ἔσται· τἄλλα δ᾽ αὐτὸ σημανεῖ.
ΧΟ. Ἴτε, θοαὶ Λύσσης κύνες, ἴτ᾽ εἰς οὖρος, (Στρ.)
Θίασον ἔνθ᾽ ἔχουσι Κάδμου κόραι,
Ἀνοιστρήσατέ νιν
Ἐπὶ τὸν ἐν γυναικομίμῳ στολᾷ
* * Μαινάδων σκοπὸν λυσσώδη.
Μάτηρ πρῶτά νιν λευρᾶς ἀπὸ πέτρας,
Ἢ σκόλοπος ὄψεται
Δοκεύοντα. Μαινάσιν δ᾽ ἀπύσει·
Τίς δ᾽ ὅδε Καδμείων μαστὴρ οὔριον
Δρόμον ἐς ὄρος, ἐς ὄρος ἔμολεν, ὦ Βάκχαι;
Τίς ἄρα νιν ἔτεκεν;
Οὐ γὰρ ἐξ αἵματος γυναικῶν ἔφυ·
Λεαίνας δέ γε τινὸς, ἢ Γοργόνων

928. Τρυφάς τε ταύτας] τὰς βακχικὰς δηλαδή. 934. Αὐτὸ] αὐτὸ τὸ πρᾶγμα αὐτὸ τὸ τέλος δείξει. 935. Λύσσης κύνες] αἱ Ἐριννύες ἂν εἶεν αὗται· ἢ αὐτὸ

SISMANOGLIO



ΔΙ. Ἥξεις δὲ φερόμενος ὡς ἐν θριάμβῳ.

ΠΕ. Μαλακίαν μοι δοκεῖς ἐξονειδίζειν.

ΔΙ. Ἐν ταῖς τῆς μητρὸς ἀγκάλαις.

ΠΕ. Ἆρ᾽ ἀναγκάσει με οὕτως ἐντρυφᾷν;

ΔΙ. Τρυφάς γε τοιαύτας.

ΠΕ. Δέχομαί γε, ὅσα μοι φέρει κλέος.

ΔΙ. Δεινὸς εἶ, ὦ, δεινὸς ἀληθῶς, κἀπὶ δεινὸν ὁρμᾷς ἀγῶνα· ἐν ᾧ οὐράνιον κλέος εὑρήσῃ γέρας· Σὺ δ᾽ οὖν, ὦ Ἀγαυὴ σὺν ταῖς ἀδελφαῖς ἔκτεινον ἤδη τὰς χεῖρας· νῦν γὰρ ἄγω σοι τὸν νεανίαν τοῦτον εἰς μέγιστον ὑμῖν ἀγῶνα· ὁ δὲ νικήσων πάντως ἐγώ τε καὶ ὁ Βρόμιος· τὰ δὲ λοιπὰ ἔσται δῆλα ἐκ τῶν ἀποβησομένων.

ΧΟ. Ἴτε, ὦ κύνες τῆς Λύσσ[illegible] ὠκύποδες, ἴτε εἰς τὸ ὄρος, ἔνθ᾽ αἱ Κάδμου θυγατέρες τὰ τοῦ Βάκχου ἑορτάζουσιν ὄργια· ἐξορμήσατε αὐτὰς ἐπὶ τὸν θηλυδρίαν τοῦτον, τὸν λυσσώδη τῶν Μαινάδων κατάσκοπον. Πρώτη μὲν οὖν ἡ μήτηρ ὄψεται αὐτὸν, ἀπὸ πέτρας ὁμαλῆς, ἢ ἀπὸ σκόλοπός τινος κατασκοποῦντα ὅ,τι ποτε πράττοιεν ἐκεῖναι· ἰδοῦσα δ᾽ ἐρεῖ ταῖς Μαινάσι, τίς οὗτος, ὦ Βάκχαι, Καδμείων ἧκε δεῦρ᾽ ἐς τὸ ὄρος, ἡμᾶς γε τὰς ὀρεσιδρόμους μαστεύων; τίς ἆρ᾽ ἔτεκεν αὐτόν; οὐ γὰρ γυνὴ, ἀλλ᾽ ἤτοι λέαινα, ἢ τῶν ἐκ τῆς Αυδύης Γορ-

τὸ τῆς λύσσης διεγερτικὸν προσωποποιεῖ. 937. Νιν] αὐτὰς τὰς κόρας τοῦ Κάδμου· λαμβάνεται γὰρ τὸ Νιν ἐπὶ παντὸς καὶ γένους καὶ ἀριθμοῦ.

943. Οὔριον δρόμον] ἐν ἄλλοις, Οὐρειοδρόμων, δηλ. Βακχῶν. 947. Γοργόνων] τρεῖς ἀδελφαὶ ἦσαν αὗται ἐν Λιβύᾳ θυγατέρες τοῦ Φώκου, θεοῦ θαλασσίου, Σθένη, Εὐρυάλη, καὶ Μέδουσα, ἕνα ὀφθαλμὸν καὶ ἕνα ὀδόντα ἔχουσαι, οἷς ἐχρῶντο ἐκ διαδοχῆς· χεῖρες δ᾽ αὐταῖς ἦσαν χαλκαῖ, καὶ αἱ πλόκαμοι ὄφεις

Λιβυσσᾶν γένος.
Ἴτω δίκα φανερὸς, ἴτω ξιφηφόρος,
Φονεύουσα λαιμῶν διαμπὰξ
Τὸν ἄθεον, ἄνομον, ἄδικον Ἐχίονος
Γόνον γηγενῆ·
Ὃς ἀδίκῳ γνώμᾳ, παρανόμῳ τ' ὀργᾷ (Αντ.)
Περὶ σὰ, Βάκχι', ὄργια, ματρός τε σᾶς
Μανεῖσα πραπίδι,
Παρακόπῳ τε λήματι στέλλεται,
Τὸν ἀνίκατον ὡς κρατήσων βίᾳ.
Γνώμαν σώφρον' ἀθάνατον ἀπροφάσιστ'
Εἴς τά τε θεῶν ἔφυ,
Βροτείων τ' ἔχειν ἄλυπος βίος.
Τὸ σοφὸν οὐ φθόνῳ χαίρω θηρεύου-
Σα, τὰ δ' ἕτερα μεγάλα φανερὰ τῶν ἀεὶ
Ἐπὶ τὰ καλὰ βίον
Ἦμαρ εἰς νύκτα τ' εὖ ἄγοντ', εὐσεβεῖν·
Τὰ δ' ἔξω νόμιμα δίκας ἐκβαλόν-
Τα τιμᾶν θεούς.
Ἴτω δίκα φανερὸς, ἴτω ξιφηφόρος
Φονεύουσα λαιμῶν διαμπὰξ

σπειροειδεῖς· μόνῳ δὲ τῷ βλέμματι ἀπελίθουν, ὃν ἴδοιεν. 950. Λαιμῶν] ἐν ἄλλοις κεῖται Δαίμων. 954. Βάκχι'.] κλητική ἐστι πτῶσις τοῦτο, ἀντὶ τοῦ Βάκχε. — Μητρός τε σᾶς] καὶ πρὸς τιμὴν τῆς μητρὸς γινόμενα. 1003. Γνώμην σώφρονα] τὸ χωρίον τοῦτο, παρασχὸν πολλὰ πράγματα τοῖς διερμηνευταῖς, ἔμεινεν ὅλως ἀκατανόητον, ἐκ πολλῆς διαφθορᾶς· καίτοι ἄλλος ἄλλως



γόνων τις· ἴτω δίκη φανερὰ, ἴτω δαίμων ξιφηφόρος, διαμπὰξ τῷ ἑαυτῆς βέλει τὸν ἄθεον, ἄνομον, ἄδικον τὸν Ἐχίονος, ὃν ἐξήμεσεν ἡ γῆ, διελαύνουσα παῖδα.

Οὗτος γὰρ, ὦ Βρόμιε, ἐξ ἀλαζόνος γνώμης ἀρθεὶς, ὀργῇ ῥαγδαίᾳ ὁρμώμενος, ἐπὶ τὰ σὰ καὶ τῆς σῆς μητρὸς σὺν οὐκ ὀλίγῃ μανίᾳ καὶ ἀφροσύνῃ ἐπιστρατεύει μυστήρια, ὡς σοῦ κατακρατήσων τοῦ ἀηττήτου γνώμην δὲ σώφρονα ἔχειν περί τε τὰ θεῖα καὶ τὰ ἀνθρώπινα τοῦτ' ἄριστος ἀεὶ καὶ ἄλυπος βίος ἐστὶ τοῖς θνητοῖς ἀπροφασίστως τὸ δὲ σοφὸν οὐ φθόνῳ θηρευτέον· καὶ τὰ γέρα μεγάλα καὶ φανερὰ τῷ γ' ἀεὶ τὰ κατὰ τὸν βίον νύκτωρ τε καὶ μεθ' ἡμέρας εὖ ἄγοντι πρὸς εὐσέβειαν· τὸ δὲ τιμῶντα θεοὺς, ἐκβαλεῖν τὰ νόμιμα αὐτῶν, ἄδικον. Ἴτω δίκη φανερὰ, ἴτω δαίμων ξιφηφό-

ἐπειράθη διορθῶσαι αὐτὸ ὁπωσοῦν· ἀλλ' ὁ ἐγγυτέρω τῆς γνώμης γενόμενος οἶμαι, ἐστὶν ὁ διορθώσας αὐτὸ ὡδί·

» Γνώμαν σώφρονα θεατοῖς ἀπροφασίστως,
» Εἴς τά τε θεῶν ἔφυ,
» Βροτείων τ', ἔχειν ἄλυπος βίος·
» Τὸν σοφὸν οὐ φθονῶ· χαίρω θηρεύουσα
» Τάδ' ἕτερα μεγάλα, φανερὰ, τὸν ἀεὶ
» Ἐπὶ τὰ καλὰ βίον
» Ἦμαρ εἰς νύκτα τ' εὖ
« Ἄγοντ' εὐσεβεῖν·
» Τὰ δ' ἔξω νόμιμα δίκας ἐκβαλόν-
» Τα τιμᾶν θεούς.

Διορθοῖ δέ τις καὶ τὸ, Τὰ δ' ἕτερα εἰς τὸ, Τὰ δὲ γέρα, πιθανῶς καὶ τοῦτο· Ἐκ τούτων οὖν καὶ ἄλλων μόλις ἐγὼ συῤῥάψας ἔννοιαν ὁπωσοῦν, παρέφρασα, ὡς

Τὸν ἄθεον, ἄνομον, ἄδικον Ἐχίονος
Τόκον γηγενῆ.
Φάνηθι ταῦρος, ἢ πολύκρανός γ' ἰδεῖν — Ἐπῳδ.)
Δράκων, ἢ πυριφλέγων
Ὁρᾶσθαι λέων.
Ἴθ', ὦ Βάκχε, θηραγρέταν Βακχᾶν
Γελῶντι προσώπῳ περίβαλε βρόχον, ἐπὶ θανάσι-
Μον ἀγέλαν πεσόντα τὰν Μαινάδων.

**ΑΓ.** Ὦ δῶμ', ὃ πρίν ποτ' εὐτύχεις ἀν' Ἑλλάδα,
Σιδωνίου γέροντος, ὃς τὸ γηγενὲς
Δράκοντος ἔσπειρ' ὄφεος ἐν γαίᾳ θέρος,
Ὥς σε στενάζω, δοῦλος ὢν μὲν, ἀλλ' ὅμως
Χρηστοῖσι δούλοις συμφορὰ τὰ δεσποτῶν.

**ΧΟ.** Τί δ' ἐστίν; ἐκ Βακχῶν τί μηνύεις νέον;

**ΑΓ.** Πενθεὺς ὄλωλε, παῖς Ἐχίονος πατρός.

**ΧΟ.** Ὦναξ βρόμιε· καὶ γὰρ θεὸς φαίνῃ μέγας.

**ΑΓ.** Πῶς φῄς; τί τοῦτ' ἔλεξας; ἢ 'πὶ τοῖς ἐμοῖς
Χαίρεις κακῶς πράσσουσι δεσπόταις, γύναι;

**ΧΟ.** Εὐάζω ξένα μέλεσι βαρβάροις·
Οὐκέτι γὰρ δεσμῶν ὑπὸ φόβῳ πτήσσω.

**ΑΓ.** Θήβας δ' ἀνάνδρους ὧδ' ἄγεις;

**ΧΟ.** Ὁ Διόνυσος, ὁ Διόνυσος, οὐ Θῆβαι
Κράτος ἔχουσ' ἐμόν.

**ΑΓ.** Ξυγγνωστὰ μέν σοι· πλὴν ἐπ' ἐξειργασμένοις
Κακοῖσι χαίρειν, ὦ γυναῖκες, οὐ καλόν.

ἐρᾷς ἀντικρύ. 1020. Θηραγρέταν . . . πεσόντα] γραπτέον ἴσως θηραγρέτᾳ πεσόν-



ρος, δεινῶς μετερχομένη τὸν ἄθεον, τὸν ἄνομον, τὸν ἄδικον τοῦ γηγενοῦς Ἐχίονος παῖδα.

Ἐλθὲ, ὦ Βάκχε, σχῆμα περικείμενος ταύρου, ἢ ὡς πολυκέφαλος δράκων, ἢ ὡς πυρίπνους λέων· ἴθι φαιδρῷ προσώπῳ περίβαλε τὸν βρόχον τῷ κυνηγέτῃ τῶν Βακχῶν, ἐμπεσόντι ἤδη ἐπὶ τὴν θανάσιμον ἀγέλην τῶν Μαινάδων.

**ΑΓ.** Ὦ δῶμα θαυμαζόμενόν ποτε ἐν τῇ Ἑλλάδι τοῦ ἐκ Σιδῶνος ἐλθόντος Κάδμου· ὃς τὸ γηγενὲς τοῦ δράκοντος γένος ἔσπειρεν ἐν γῇ· ὡς ἀλγῶ ἐπὶ σοί· καίτοι γὰρ δοῦλος τυγχάνω γεγενημένος, ἀλλ' οὖν καὶ τούτους, χρηστούς γ' ὄντας, δάκνει τὰ τῶν δεσποτῶν πεπτωκότα·

**ΧΟ.** Τί ἐστιν; τί νέον ἐκ Βακχῶν ἡμῶν τυγχάνεις φέρων;

**ΑΛ.** Ἀπόλωλε Πενθεὺς ὁ Ἐχίονος.

**ΧΟ.** Τί φῄς; ὦ ἄναξ Βάκχε! νῦν γὰρ θεὸς φαίνῃ μέγας.

**ΑΓ.** Πῶς λέγεις τοῦτο; ποῖον τοὔπος ἐξέφυγέ σε τῶν ὀδόντων; ἐφήδῃ σὺ τοῖς κακοῖς τοῦ δεσπότου;

**ΧΘ.** Ὀργιάζω τρόπον τινὰ ξένον ἐν μέλεσι βαρβάροις· οὐκέτι γὰρ καταπτήξω ἐπὶ τοῖς δεσμοῖς.

**ΑΓ.** Οὕτω σὺ οἴῃ τοὺς Θηβαίους ἀνάνδρους;

**ΧΟ.** Διόνυσος γὰρ οὐκ ἄλλος τοὐμὸν ἔχει κράτος·

**ΑΓ.** Τοῦτ' ἐστὶν ἔχον λόγον· ἀλλ' οὐ καλὸν ἐπιχαίρειν ταῖς τῶν ἄλλων δυσπραξίαις.

τι, καὶ ἀνακτέον ταῦτα ἐπὶ Πενθέα. 997. Θέρος] ἐπειδὴ εἴρηκεν, Ἔσπειρεν ἐπιφέρει τὸ βλάστημα, Θέρος, ἀκολουθῶν τῇ μεταφορᾷ· περὶ δὲ τοῦ δράκοντος

ΧΟ. Ἔννεπέ μοι, φράσον, τίνι μόρῳ θνήσκει
Ἄδικος, ἄδικά τ' ἐκπορίζων ἀνήρ.

ΑΓ. Ἐπεὶ θεράπνας τῆσδε Θηβαίας χθονὸς
Λιπόντες, ἐξέβημεν Ἀσωποῦ ῥοὰς,
Λέπας Κιθαιρώνειον εἰσεβάλλομεν
Πενθεύς τε κἀγὼ, (δεσπότῃ γὰρ εἰπόμην,)
Ξένος θ', ὃς ἡμῖν πομπὸς ἦν θεωρίας.
Πρῶτον μὲν οὖν ποιηρὸν ἵζομεν νάπος,
Τά τ' ἐκποδῶν σιγηλὰ καὶ γλώσσης ἄπο
Σώζοντες, ὡς ὁρῷμεν οὐχ ὁρώμενοι.
Ἦν δ' ἄγκος ἀμφίκρημνον, ὕδασι διάβροχον,
Πεύκαισι συσκιάζον, ἔνθα Μαινάδες
Κάθηντ', ἔχουσαι χεῖρας ἐν τερπνοῖς πόνοις.
Αἱ μὲν γὰρ αὐτῶν θύρσον ἐκλελοιπότα
Κισσῷ κομήτην αὖθις ἐξανέστεφον,
Αἱ δ', ἐκλιποῦσαι ποικίλ' ὡς πῶλοι ζυγὰ,
Βακχεῖον ἀντέκλαζον ἀλλήλαις μέλος.
Πενθεὺς δ' ὁ τλήμων, θῆλυν οὐχ ὁρῶν ὄχλον,
Ἔλεξε τοιάδ'· ὦ ξέν', οὗ μὲν ἕσταμεν,
Οὐκ ἐξικνοῦμαι Μαινάδων ὅποι μόθων·
Ὄχθον δ' ἐπεμβὰς, ἢ 'λάτην ὑψαύχενα,
Ἴδοιμ' ἂν ὀρθῶς Μαινάδων αἰσχρουργίαν.
Τοὐντεῦθεν ἤδη τοῦ ξένου τι θαῦμ' ὁρῶ·
Λαβὼν γὰρ ἐλάτης οὐράνιον ἄκρον κλάδον,

ἴδε Φοιν. στίχ. 834. 996. Θεράπναι] ἐν ἄλλοις σημαίνει τὸ ὄνομα τοῦτο, αὐλῶνας, ἢ σταθμοὺς, ἢ ἁπλῶς ἑστίαν· ἐν δὲ τῇ Λακωνίᾳ (ἴδε Τρῳάδ. στίχ. 221) πόλισμά τί ἐστι· καὶ ἐνταῦθα ὁμοίως χωρίον τι, περὶ οὗ καὶ Στράβων



ΧΟ. Σὺ δέ μοι λέγ', ὅπως τέθνηκεν ὁ ἄδικος, καὶ ἀσεβὴς ἐκεῖνος.

ΑΓ. Ἐπειδὴ Θήβας ταυτασὶ καταλιπόντες, διέβημεν Ἀσωπὸν, εἰσεβάλομεν εἰς τὸν Κιθαιρῶνα, Πενθεύς τε, ἐγώ τε (εἰπόμην γὰρ τῷ δεσπότῃ) καὶ τρίτος ὁ ξένος· ὃς ἡγεῖθ' ἡμῖν πρὸς ταῦτα· πρῶτον μὲν οὖν κατέδυμεν εἰς τὸ νάπος ἀκροβατοῦντες, καὶ τῆς γλώσσης κρατοῦντες ἀκριβῶς, ὅπως ἐξ ἀφανῶν ὁρῶμεν ἐκείνας ὅ,τι καὶ πράττοιεν· αἱ δὲ ἦσαν ἐν ἄγκει ἀμφικρήμνῳ, ῥείθροις περιῤῥεομένῳ καὶ κατασκίῳ πεύκαις, ἀμφὶ τὰ ἑαυτῶν ἔργα ἔχουσαι· αἱ μὲν, ἀναστεφανοῦσαι τοὺς θύρσους ἐξ ὑπαρχῆς, τοῦ κισσοῦ ἐκλελοιπότος· αἱ δὲ, ὥσπερ ἵπποι τῶν ζυγῶν ἀφεθέντες, σκιρτῶσιν ἐν λειμῶσιν, οὕτω καὶ αὗται ἐκβακχεύουσαι, καὶ μέλεσιν ἀμοιβαδὸν ἀλλήλαις τὸν Βάκχον ὑμνοῦσαι· ἐνταῦθα δὲ ὁ ταλαίπωρος Πενθεὺς, ξένε, φησὶν, ἐντεῦθεν μὲν οὐκ ἔχω ἰδεῖν ἐκείνας ἀκριβῶς ὅ,τι πράττοιεν· προσβὰς δέ ποι οἷον ἐπὶ γήλοφον, ἢ ἐλάτην, ἴδοιμ' ἂν ἄμεινον ἐκεῖθεν ὡς ἀπὸ περιωπῆς· ὁ δὲ ξένος (καὶ ἦν τοῦθ' ἡμῖν ὁρώμενον θαῦμα ὅλως) ὑψικόμου ἐλάτης λαβόμενος ἄκρας,

Βιβλ. 9. Ἐν δὲ τῇ Θηβαίων εἰσὶ καὶ αἱ Θεράπναι, καὶ Τευμησσὸς, ἣν ἐκόσμησεν Ἀντίμαχος διὰ πολλῶν ἐπῶν. 1013. Ὅποι μόθων ἐν ἄλλοις, ὅσοι μόθων κεῖται. εἰ μὲν ἀδιαφόρως ἔχοι τὸ χωρίον, σύνταξον οὕτως, Οὐκ ἐξικνοῦμαι τῶν μόθων (πόνων, ἔργων] τῶν Μαινάδων, ὅποι εἰσίν· εἰ δὲ δεῖ διορθοῦν, μεταβλητέον ἢ τὸ Μόθων εἰς τὸ Μαθεῖν, ἢ τὸ Ὅσοι εἰς τὸ Ὄσσοιν (ὄμμασιν) ἵνα ᾖ οὐκ ἐξικνοῦμαι τῶν πόνων τοῖς ὄμμασιν, ὅ ἐστιν, οὐ δύναμαι ὁρᾷν ὅ,τι πράττοιεν. 1015. Εἰς ἐλάτην] ὅ,τε λόγος καὶ τὸ μέτρον δοκεῖ χωλαίνειν· διὸ γραπτέον ἂν εἴη κατά τινα ᾠδήν Ὄχθον δ' ἐπεμβὰς, ἢ 'λάτην ὑψαύχενα· ἢ τὸ ὄχ-

Κατῆγεν, ἦγεν, ἦγεν ἐς μέλαν πέδον.
Κυκλοῦτο δ', ὥστε τόξον, ἢ κυρτὸς τροχὸς,
Τόρνῳ γραφόμενος, περιφορᾶς ἕλκει δρόμου·
Ὡς κλῶν' ὄρειον ὁ ξένος χεροῖν ἄγων,
Ἔκαμπτεν ἐς γῆν, ἔργματ' οὐχὶ θνητὰ δρῶν.
Πενθέα δ' ἱδρύσας ἐλατίνων ὄζων ἔπι,
Ὀρθὸν μεθίει διὰ χειρῶν βλάστημ' ἄνω
Ἀτρέμα, φυλάσσων μὴ 'ναχαιτίσειέ νιν.
Ὀρθὴ δ' ἐς ὀρθὸν αἰθέρ' ἐστηρίζετο,
Ἔχουσα νώτοις δεσπότην ἐφήμενον·
Ὤφθη δὲ μᾶλλον, ἢ κατεῖδε Μαινάδας·
Ὅσον γὰρ οὔπω δῆλος ἦν θάσσων ἄνω,
Καὶ τὸν ξένον μὲν οὐκέτ' εἰσορᾶν παρῆν,
Ἐκ δ' αἰθέρος φωνή τις, ὡς μὲν εἰκάσαι,
Διόνυσος ἀνεβόησεν· Ὦ νεάνιδες,
Ἄγω τὸν ὑμᾶς, κἀμὲ, τἀμὰ τ' ὄργια
Γέλων τιθέμενον· ἀλλὰ τιμωρεῖσθέ νιν·
Καὶ ταῦθ' ἅμ' ἠγόρευε, καὶ πρὸς οὐρανὸν
Καὶ γαῖαν ἐστήριζε φῶς σεμνοῦ πυρός.
Σίγησε δ' αἰθὴρ, σῖγα δ' εὔλειμος νάπη
Φύλλ' εἶχε, θηρῶν δ' οὐκ ἂν ἤκουσας βοήν.
Αἱ δ', ὠσὶν ἠχὴν οὐ σαφῶς δεδεγμέναι,
Ἔστησαν ὀρθαὶ, καὶ διήνεγκαν κόρας.
Ὁ δ' αὖθις ἐπεκέλευσεν· ὡς δ' ἐγνώρισαν
Σαφῆ κελευσμὸν Βακχίου Κάδμου κόραι,

θον εἰς τὸ ὄχον. 1018. Κατῆγεν, ἦγεν, ἦγεν] οὐ περιττῶς ἐτρίσσευσεν εἰπὼν τοῦτο, ἀλλὰ τὸ μετ' ἀνάγκης καὶ πολλῆς ἰσχύος κατορθῶσαι τοῦτο δηλοῖ.



εἷλκε, καθεῖλκεν, οὐχ ὑφίει περιάγων, καὶ μέχρι τοῦ ἐδάφους ἀποκυρτώσας ἐκείνην, ὥσπερ τόξον, ἢ τροχόν· ὥσπερ γὰρ οὗτος στάθμῃ καὶ διαβίτῃ περιαχθεὶς, περιφέρεται ἐν τῷ τρέχειν· οὕτως ἐκεῖνος καταγαγὼν τὸν κλῶνα καὶ ἀποκυρτώσας, ἔργον τοῦθ' ὑπερβάλον δύναμιν θνητοῦ ἐξανύσας, ἐνέθηκε τοῖς κλάδοις αὐτοῦ τὸν Πενθέα· εἶθ' οὕτω μεθεὶς πάλιν τὸ φυτὸν ἀτρέμας καὶ κατὰ βραχὺ, ἵνα μὴ ἀθρόως ἀφεθὲν, ἀνασφενδονήσῃ αὐτὸν τῇ φορᾷ, ἐποίησεν ἐκεῖνο ἀποκατασῆναι εἰς τὸ κατὰ φύσιν, τὸν ἐμὸν δεσπότην ἐποχούμενον ἔχον· ἀλλ' ἐνταῦθ' ὡρᾶτο μᾶλλον, ἢ αὐτὸς εἶδε Βάκχας· οὐκ ἔφθη γὰρ ἀναβὰς ἄνω, καὶ ὁ ξένος ἐκ τούτου ἐγένετο ἀφανής· φωνὴ δέ τις, ὡς ἐκ τοῦ αἰθέρος ἠκούσθη, ὡς μὲν εἰκάσαι Διονύσου φωνήσαντος. Ἴδετ', ὦ νεάνιδες, ἴδεθ', ὃς ἐμέ τε, τἀτ' ἐμὲ ὄργια, καὶ ὑμᾶς αὐτὰς ἐν πολλῷ τίθεται γέλωτι. Οὐκοῦν λάβετε δίκην παρ' αὐτοῦ οἵαν δεῖ, ἐπεξέλθετε· ἅμα δὲ ταῦτα λέγων, ἀνῆκε φῶς μέγα πυρὸς, οὐρανοῦ τε καὶ γῆς ἁπτόμενον ἑκατέρωθεν· ὅ,τε αἰθὴρ ἅπας, τάτε φύλλα τῶν δένδρων διὰ παντὸς τοῦ νάπους, καὶ πᾶν θηρίον σῖγα ἦν πάντῃ, καὶ βοὴν οὐκ ἂν ἤκουσας· αἱ δὲ Βάκχαι, ἐπειδὴ οὐ σαφῶς ἐδέξαντο τοῖς ὠσὶ τὰ κεκελευσμένα, ἀναστᾶσαι, περιεσκό-

1020. Τόρνῳ γραφόμενος] τροχὸς, ὃς στρογγυλότητος ἀκριβοῦς ὀργάνῳ τεκτονικῷ τυχὼν, τρέχει κατὰ περιφοράν. τὸ γὰρ ἕλκειν δρόμον τρέχειν ἂν εἴη, τὸ δὲ Περιφορὰν συνεκδέχεται τὴν κατά· εἰ μή τι διορθωτέον τὸ Δρόμον εἰς τὸ Δρόμου. εἰς ὃ καὶ μετέβαλον, ἢ τὸ Περιφορὰν εἰς τὸ Περίφορον, ἢ περὶ φοράν·

Ἦξαν, πελείας ὠκύτητ' οὐχ ἥσσονες
Ποδῶν ἔχουσαι συντόνοις δρομήμασιν,
Μήτηρ Ἀγαυὴ, ξύγγονοί θ' ὁμόσποροι,
Πᾶσαί τε Βάκχαι· διὰ δὲ χειμάῤῥου νάπης,
Ἀγμῶν τ' ἐπήδων θεοῦ πνοαῖσιν ἐμμανεῖς.
Ὡς δ' εἶδον ἐλάτῃ δεσπότην ἐφήμενον,
Πρῶτον μὲν αὐτοῦ χερμάδας κραταιβόλους
Ἔῤῥιπτον, ἀντίπυργον ἐπιβᾶσαι πέτραν.
Ὄζοισι δ' ἐλατίνοισιν ἠκοντίζετο·
Ἄλλαι δὲ θύρσους ἵεσαν δι' αἰθέρος,
Πενθέως στόχον δύστηνον· ἀλλ' οὐκ ἤνυτον.
Κρεῖσσον γὰρ ὕψος τῆς προθυμίας ἔχων,
Καθῆσθ' ὁ τλήμων, ἀπορίᾳ λελημμένος.
Τέλος δὲ, δρυΐνους συγκεραυνοῦσαι κλάδους,
Ῥίζας ἀνεσπάρασσον ἀσιδήροις μοχλοῖς.
Ἐπεὶ δὲ μόχθων τέρματ' οὐκ ἐξήνυτον,
Ἔλεξ' Ἀγαυή· φέρε, περιστᾶσαι κύκλῳ,
Πτόρθου λάβεσθε, Μαινάδες, τὸν ἀμβάτην
Θῆρ' ὡς ἕλωμεν, μηδ' ἀπαγγείλῃ θεοῦ
Χοροὺς κρυφαίους. αἱ δὲ μυρίαν χέρα
Προσέθεσαν ἐλάτῃ, κἀξανέσπασαν χθονός·
Ὕψου δὲ θάσσων, ὑψόθεν χαμαιπετὴς
Πίπτει πρὸς οὖδας μυρίοις οἰμώγμασι
Πενθεύς· κακοῦ γὰρ ἐγγὺς ὡς ἐμάνθανεν.

---

1155. Λελημμένος] ἐν ἄλλοις λελησμένος. 1153. Πενθέως στόχον ἐν ἄλλοις, Πενθέως τ' ὄχον. 1056. Συγκεραυνοῦσαι] τὸ ταχὺ καὶ δραστήριον δηλοῖ τῆς τομῆς, ἢ βολῆς.

SISMANOGLIO MEGARO



που κύκλῳ· ὡς δὲ καὶ αὖθις ἐκείνου ἐπαναλαβόντος ταῦτα, διέγνωσαν ὅ,τι εἴη, ἐφώρμησαν ὁμόσε δρόμῳ, πλέον ἢ περιστεραὶ τάχος ἔχουσαι, ἥτε μήτηρ Ἀγαυὴ, αἵτε ἀδελφαὶ, καὶ πᾶσαι αἱ συνοργιάζουσαι Βάκχαι· ὡς δὲ διὰ χειμάῤῥων καὶ σχισμῶν θεοῦ δυνάμει διεκπηδήσασαι ἐμμανεῖς ὅλως, κατεῖδον τὸν ἐμὸν δεσπότην ὀχούμενον ἐπὶ τοῦ δένδρου, πρῶτον μὲν ἐπὶ πάγου τινὸς ἀναβᾶσαι ἀντιπαρακειμένου, χειροπληθεῖς τε ἔβαλλον λίθους, καὶ κοντοὺς ἐλατίνους ἐπ' αὐτὸν ἐξηκόντιζον· αἱ δὲ καὶ θύρσους ὡς ἐπὶ σκοπὸν τὸν Πενθέα ἠφίεσαν· ἀλλ' οὐδὲν ἤνυον. Πενθεὺς γὰρ καίτοι ᾔδει ἐν ἀπορίᾳ μεγίστῃ γεγενημένος, ἀλλ' ὡς χωρίον ἔχων τῆς ἐκείνων σπουδῆς πολλῷ ὑπερκείμενον, καθῆστο ἀβλαβής· αἱ δὲ οὐκ ἀνίεσαν, ἀλλὰ δρυΐνους ἀποτεμοῦσαι μοχλοὺς σὺν ὀξύτητι, ἐχρῶντο τούτοις ἀντὶ σιδηρῶν, ἀνασπᾶσαι καὶ ἀναμοχλεῦσαι τὰς ῥίζας τῆς ἐλάττης ποιούμεναι σπουδήν· ἀλλ' ἐπειδὴ καὶ οὕτως ἔργον ἦν τὸ πᾶν ἐξανύσαι, φησὶν ἡ Ἀγαυὴ πρὸς τὰς ἄλλας· ἄγεθ' ὑμεῖς, ὦ φίλαι, ἀντιλάβεσθε ἀθρόαι τοῦ δένδρου κύκλῳ, ὡς ἂν αὐτόπρεμνον ἀνασπάσαιμεν, ἵνα μὴ ὁ ἀναβὰς εἰς αὐτὸ θὴρ, κρείττων γενόμενος τῆς ἡμετέρας ὀργῆς, τὰ τοῦ θεοῦ κατείπῃ τοῖς ἄλλοις μυστήρια· αἱ δὲ ἅμα τῷ λόγῳ, ἐκ μυρίας ὁρμώμεναι χειρὸς, ἐξενέσπασαν τὸ φυτὸν παραχρῆμα· οὕτω δὴ ὁ δύστηνος ἐκεῖνος ἡγεμὼν κατέπεσεν ὑψόθεν ἐπὶ γῆς στένων τε καὶ οἰμώζων· ᾔδει γὰρ ὅπῃ κινδύνου αὐτῷ περιέστη τὰ

Πρώτη δὲ μήτηρ ἦρξεν ἱέρεια φόνου,
Καὶ προσπιτνεῖ νιν· ὁ δὲ μίτραν κόμης ἄπο
Ἔῤῥιψεν, ὥς νιν γνωρίσασα μὴ κτάνῃ
Τλήμων Ἀγαυὴ, καὶ λέγει, παρηΐδος
Ψαύων· ἐγώ τοι, μῆτερ, εἰμὶ παῖς σέθεν
Πενθεὺς, ὃν ἔτεκες ἐν δόμοις Ἐχίονος.
Οἴκτειρε δ', ὦ μῆτέρ, με, μηδὲ ταῖς ἐμαῖς
Ἁμαρτίαισι παῖδα σὸν κατακτάνῃς·
Ἡ δ', ἀφρὸν ἐξιεῖσα, καὶ διαστρόφους
Κόρας ἑλίσσουσ', οὐ φρονοῦσ' ἃ χρὴν φρονεῖν,
Ἐκ Βακχίου κατείχετ', οὐδ' ἔπειθέ νιν.
Λαβοῦσα δ' ὠλέναις ἀριστερὰν χέρα,
Πλευραῖσιν ἀντιβᾶσα τοῦ δυσδαίμονος,
Ἀπεσπάραξεν ὦμον, οὐχ ὑπὸ σθένους,
Ἀλλ' ὁ θεὸς εὐμάρειαν ἐπεδίδου χεροῖν.
Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο,
Ῥηγνῦσα σάρκας, Αὐτονόη τ', ὄχλος τε πᾶς
Ἐπεῖχε Βακχῶν· ἦν δὲ πᾶσ' ὁμοῦ βοὴ,
Ὁ μὲν στενάζων, ὅσον ἐτύγχανε πνέων,
Αἱ δ' ἠλάλαζον. ἔφερε δ' ἡ μὲν ὠλένην,
Ἡ δ' ἴχνος αὐταῖς ἀρβύλαις· γυμνοῦτο δὲ
Πλευραὶ σπαραγμοῖς· πᾶσα δ', ἡματωμένη
Χεῖρας, διεσφαίριζε σάρκας Πενθέως.
Κεῖται δὲ χωρὶς σῶμα, τὸ μὲν ὑπὸ στυφλοῖς
Πέτραις, τὸ δ' ὕλης ἐν βαθυξύλῳ φόβῃ,
Οὐ ῥάδιον ζήτημα· κρᾶτα δ' ἄθλιον,
Ὅπερ λαβοῦσα τυγχάνει μήτηρ χεροῖν,
Πήξασ' ἐπ' ἄκρον θύρσον ὡς ὀρεστέρου

SISMANOGLIO



πράγματα· ἀλλ' ἐς μάτην· ἡ γὰρ μήτηρ αὐτῷ ἐπεπήδησε πρώτη, ὡς διασπαράξουσα· ὁ δὲ ἀποσεισάμενος τὴν μίτραν τῆς κόμης, ὡς ἂν γνωστὸς γενόμενος, μὴ διασπασθείη, λέγει πρὸς αὐτὴν, ἁψάμενος τῆς παρειᾶς· μῆτερ ἐμὴ, οὐχ ὁρᾷς, ὃν ἔτεκες Πενθέα ἐν δόμοις Ἐχίονος; οἴκτειρε τοῦτον, μήδ' ἀποκτείνῃς σύ γε τὸν σαυτῆς παῖδα, ἐφ' οἷς ἐξήμαρτον ὁ ταλαίπωρος ἐγώ· ἡ δὲ ῥεῦμ' ἀφροῦ ἐξιεῖσα τοῦ στόματος, διάστροφόν τε βλέπουσα, καὶ τῶν φρενῶν ἐκστᾶσα, κατείχετο ὅλως τῷ Βάκχῳ, μηδεμίαν τοῖς λόγοις ἐκείνου ἀκρόασιν ποιουμένη· λαβοῦσα δ' αὐτὸν τῆς ἀριστερᾶς χειρὸς, καὶ τῷ ποδὶ ἀντιβᾶσα ταῖς πλευραῖς τοῦ δυστήνου, ἀπεσπάραξεν αὐτοῦ τὸν ὦμον, σθένος ταῖς χερσὶν αὐτῆς ἐνθέντος τοῦ θεοῦ. Ἰνὼ δὲ ταῦτα καὶ αὐτὴ διασπῶσα τὰς σάρκας, ἑτέρωθεν ἐξειργάσατο· ἡ δὲ Αὐτονόη καὶ πᾶς ὁ ὄχλος τῶν Βακχῶν ἐπεῖχον κύκλῳ· βοὴ δ' ἦν τις παμμιγής· ὁ μὲν γὰρ ἐστέναζεν, ἐν ὅσῳ ἐτύγχανε πνέων· αἱ δὲ ἠλάλαζον, ἡ μὲν χεῖρα, ἡ δὲ πόδα αὐτῷ ὑποδήματι ἀνασπῶσα· οὕτω δὴ τῶν πλευρῶν πάμπαν γυμνωθεισῶν τῶν σαρκῶν, διεσφενδόνα ἑκάστη ἄλλο σε ἄλλο μέλος καθημαγμένη τὰς χεῖρας· καὶ νῦν κεῖται τὸ σῶμα διαμεμελισμένον ἐξῆς, ἔνθ' οὐδ' εὑρεῖν ἐστι τοῖς ζητοῦσιν, ὃ μὲν αὐτοῦ κατὰ πετρῶν ἀποῤῥώγων, ὃ δὲ ἐν βαθείᾳ τῇ ὕλῃ· τὴν δὲ κεφαλὴν τοῦ δυστήνου, ἣν ἔλαχεν ἡ μήτηρ λαβεῖν, πήξασα ἐπὶ θύρσου, φέρει ἰδίᾳ χειρὶ ὡς λέοντος ἀγρίου διὰ τοῦ Κιθαιρῶνος· λι-

Φέρει λέοντος διὰ Κιθαιρῶνος μέσου,
Λιποῦσ' ἀδελφὰς ἐν χοροῖσι Μαινάδων.
Χωρεῖ δὲ, θήρᾳ δυσπότμῳ γαυρουμένη
Τειχέων ἔσω τῶνδ', ἀνακαλοῦσα Βάκχιον,
Τὸν ξυγκύναγον, τὸν ξυνεργάτην ἄγρας,
Τὸν καλλίνικον, ᾧ δάκρυα νικηφορεῖ.
Ἐγὼ μὲν οὖν τῇδ' ἐκποδὼν τῇ ξυμφορᾷ
Ἄπειμ', Ἀγαυὴν πρὶν μολεῖν πρὸς δώματα.
Τὸ σωφρονεῖν δὲ καὶ σέβειν τὰ τῶν θεῶν,
Κάλλιστον οἶμαι ταὐτὸ καὶ σοφώτατον
Θνητοῖσιν εἶναι χρῆμα τοῖσι χρωμένοις.

ΧΟ. Ἀναχορεύσωμεν Βακχεῖον,
Ἀναβοάσωμεν ξυμφορὰν
Τὰν τοῦ δράκοντος ἐκγενέτα τοῦ Πενθέως,
Ὃς τὰν θηλυγενῆ στολὰν
Νάρθηκά τε, πικρὸν ἀΐδαν,
Ἔλαβεν εὔθυρσον,
Ταῦρον προηγητῆρα συμφορᾶς ἔχων.
Βάκχαι Καδμεῖαι,
Τὸν καλλίνικον κλεινὸν ἐξεπράξατο
Εἰς γόον, εἰς δάκρυα.
Καλὸς ἀγὼν, ἐν αἵματι στάζουσαν
Χέρα περιβαλεῖν τέκνου.
Ἀλλ' εἰσορῶ γὰρ ἐς δόμους ὁρμωμένην
Πενθέως Ἀγαυὴν μητέρ' ἐν διαστρόφοις
Ὄσσοις· δέχεσθε κῶμον εὐΐου θεοῦ.

1108. Δράκοντος ἐκγενέτα] ἀπόγονος γὰρ ὁ Πενθεὺς ἦν τοῦ δράκοντος



ποῦσα γὰρ τὰς ἀδελφὰς αὐτοῦ παρὰ τοῖς χοροῖς τῶν Μαινάδων, κάτεισι δεῦρο, ἀγλαϊζομένη τῇ θήρᾳ, καὶ ὡς πολλάκις ἀνακαλοῦσα τὸν Βάκχον συγκυνηγέτην καὶ συνεργάτην τῆς ἄγρας, καὶ καλλίνικον ἐκεῖνον προσαγορεύουσα, μὴ εἰδυῖα ἄρα, ὡς αὐτίκα μάλ' ἐκεῖνος ἀντὶ νικηφόρου στεφάνου δάκρυα αὐτῇ παρέξει. Ἐγὼ μὲν οὖν πρὶν ἢ ἐκείνην γενέσθαι δεῦρο, ἄπειμι ἐκποδὼν, ἐν ἐκείνο μαθὼν καὶ συνειδὼς, ὅτι τὸ σωφρονεῖν, καὶ σέβειν τὸ θεῖον κάλλιστον καὶ σοφώτατόν ἐςι κτῆμα, εἴτις τούτῳ βούλοιτο χρῆσθαι.

ΧΟ. Τιμῶμεν τὸν Βρόμιον ἐν χοροῖς, ὑμνῶμεν τὴν Πενθέως, τοῦ ἐκ δράκοντος ἐκείνου τὸ γένος ἕλκοντος, συμφοράν· ὃς θηλυπρεπῆ ςολὴν ἠμφιεσμένος, καὶ νάρθηκα εὔθυρσον ἡγεμόνα πρὸς τὸν ᾅδην πιςὸν λαβὼν ἐν χερσὶν, εἵπετο ἡγουμένῳ ταύρῳ ἐπ' ὄλεθρον φανερόν· ὃν Βάκχαι Καδμεῖαι ἀπὸ τῆς νίκης καὶ ἀλαζονίας περιέστησαν εἰς γόους καὶ δάκρυα· ὡς καλὸς ὁ ἀγὼν, μητέρ' αὐτὴν χεῖρα φονικὴν τῷ ἑαυτῆς ἐπιβαλεῖν τέκνῳ. Ἀλλ' ἴδε Ἀγαυὴ ἐκείνη διαστρόφοις ὀφθαλμοῖς πρόσεισι δεῦρ' ὡς ὑμᾶς. δέχεσθε τὸν κῶμον τοῦ Εὐΐου.

τοῦ φύλακος τοῦ Ἄρεως, ὃν Κάδμος ἐφόνευσεν· καὶ Ἐχίων ὁ τούτου πατὴρ σπαρτὸς ἦν. 1114. Ἐξεπράξατο] γραπτέον ἴσως ἐξεπράξατε, ἐφονεύσατε· οὕτω δὲ ἐχρήσατο τῇ λέξει κἀν τῇ Ἑκάβῃ (στίχ, 515.) Πῶς νιν ἐξεπράξατε; ἆρ' αἰδούμεναι; Εἰ δὲ μὴ τοῦτο, μεταβλητέον τὸ Βάκχαι εἰς τὸ ἑνικὸν Βάκχη·

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΑΓΑΥΗ, ΧΟΡΟΣ, ΚΑΔΜΟΣ, ΔΙΟΝΥΣΟΣ.

ΑΓ. Ἀσιάδες Βάκχαι· (Στρ.)

ΧΟ. Τί με δὴ ὀρθοῖς ὦ;

ΑΓ. Φέρομεν ἐξ ὀρέων  
Ἕλικα νεότομον ἐπὶ μέλαθρα,  
Μακαρίαν θήραν.

ΧΟ. Ὁρῶ γε, καί σε δέξομαι σύγκωμον ὦ.

ΑΓ. Ἔμαρψα τόνδ' ἄνευ βρόχων  
[Ἄνευ σθένεος ἀρείου]  
Νέον λῖν, ὡς ὁρᾷν πάρα.

ΧΟ. Πόθεν ἐρημίας;

ΑΓ. Κιθαιρών —

ΧΟ. Τί Κιθαιρών;

ΑΓ. Κατεφόνευσέ νιν.

ΧΟ. Τίς ἁ βαλοῦσα πρῶτά γ';

ΑΓ. Ἐμὸν τὸ γέρας.

ΧΟ. Μάκαιρ' Ἀγαυή.

ΑΓ. Κληζόμεθ' ἐν θιάσοις.

ΧΟ. Τίς ἄλλα;

ΑΓ. Τὰ Κάδμου —

ΧΟ. Τί Κάδμου;

1123. Ἕλικα] τοῦτό ἐστιν ἐπίθετον τοῦ βοὸς διὰ τὸ ἔχειν τὰ κέρατα, ἢ τοὺς πόδας ἑλικοειδεῖς, κἀπειδὴ καὶ κατωτέρω ἡ δυςυχὴς αὕτη μήτηρ μόσχον καλεῖ τὸν σφαγέντα, ἐχρήσατο τῷ ὀνόματι· τὸ δὲ ὦ. καὶ ὦ, αὖθις ἐπιφω-

SISMANOGLIO MEGARO



# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΑΓΑΥΗ, ΧΟΡΟΣ, ΚΑΔΜΟΣ, ΔΙΟΝΥΣΟΣ.

ΑΓ. Ἀσιάτιδες Βάκχαι.

ΧΟ. Τί ποτ', ὦ πότνια, βουλομένη καλεῖς με;

ΑΓ. Οὐχ' ὁρᾶθ', οἷον θῆρα ὀρειάλωτον, εὐκλεέστατον, ἐμόγε θήραμα, νεοσφαγὲν ἥκω ἄγουσα;

ΧΟ. Ὁρῶ δῆτα, καὶ δέξομαίγε σὲ, ὥστε καὶ συγκωμάσαι.

ΑΓ. Ἄνευ βρόχων [ἄνευ ὅπλων] διεχρησάμην τοῦτον λέοντα πεφυκότα, ὡς ὁρᾷς, ἰσχυρόν.

ΧΟ. Πόθεν δ' ἠρεμίας ἥκεις ἄγουσα τοῦτον;

ΑΓ. Κιθαιρών.

ΧΟ. Τί ποτ' ἐποίησε Κιθαιρών;

ΑΓ. Αὐτὸς διεργάσατο τοῦτον.

ΧΟ· Τίς ἡ πρῶτον αὐτὸν βαλοῦσα;

ΑΓ. Ἐμοῦ, ἐμοῦ καὶ τῆς ἐμῆς δεξιᾶς ἀγώνισμα τοῦτ' ἐςίν.

ΧΟ. Ὦ μακαρία Ἀγαυή!

ΑΓ. Θαυμαζόμεθ' ἐνθιάσοις.

ΧΟ. Τίς ἄλλη;

ΑΓ. Αἱ τοῦ Κάδμου.

ΧΟ. Τί Κάδμου φής;

νήματα κλητικὰ χαρᾶς πολλῆς εἰσὶ σημεῖα. 1126 Ἔμαρψα τόνδ' ἄνευ βρόχων] εἷς δὲ μετὰ τοῦτον τὸν στίχον ἐξέλιπε· ἀναπληρώσας δέ τις ἔγραψεν,

ΑΓ. Γένεθλα.
Μετ' ἐμὲ, μετ' ἐμὲ τοῦδ'
Ἔθιγε θηρός.
ΧΟ. Εὐτυχεῖς τᾶδ' ἄγρᾳ.
ΑΓ. Μέτεχε νῦν θοίνας. (Ἀντ.)
ΧΟ. Τί μετέχω τλάμων;
ΑΓ. Νέος ὁ μόσχος ἄρ-
Τι γένυν ὑποκόρυθ' ἁπαλότριχα
Κατάκομον βάλλει.
ΧΟ. Πρέπει γὰρ, ὥστε θηρὸς ἀγραύλου φόβη.
ΑΓ. Ὁ Βάκχιος κυναγέτας
Σοφὸς σοφῶς ἀνέπηλεν
Ἐπὶ θῆρα τόνδε Μαινάδας.
ΧΟ. Ὁ γὰρ ἄναξ ἀγρεύς.
ΑΓ. Ἐπαινεῖς;
ΧΟ. Τί δ' ἐπαινῶ;
ΑΓ. Τάχα δὲ Καδμεῖοι
Καὶ παῖς γε Πενθεὺς ματέρ' ἐπαινέσεται,
Λαβοῦσαν ἄγραν τάνδε λεοντοφυῆ
Περισσὰν περισσῶς.
ΧΟ. Ἀγάλλῃ;
ΑΓ. Γέγηθα
Μεγάλα μεγάλα καὶ
Φανερὰ, καινὰ δ' ἔργματ' εἰργασμένα.
ΧΟ. Δεῖξόν νυν, ὦ τάλαινα, σὴν νικηφόρον
Ἀστοῖσιν ἄγραν, ἣν φέρουσ' ἐλήλυθας.
ΑΓ. Ὦ Καλλίπυργον ἄστυ Θυβαίας χθονὸς
Ναίοντες, ἔλθεθ', ὡς ἴδητε τήνδ' ἄγραν,



ΑΓ. Θυγατέρες μετ' ἐμὲ τοῦδ' ἥψαντο τοῦ θηρίου;
ΧΟ. Ὡς εὐτυχεῖς ἐν ἄγρᾳ.
ΑΓ. Ἀλλὰ δεῦρο γενοῦ μοι συμμέτοχος τῆς θοίνης.
ΧΟ. Τίνος μέτοχος, ὦ ταλαίπωρε;
ΑΓ. Ἴδετε, νέος ὁ μόσχος, μόλις ἄρτι ὑπὸ κόρυθα ἐν ἁπαλῇ παρειᾷ δασὺ ἐκφύει γένειον.
ΧΟ. Ἐμπρέπει γὰρ αὐτῷ, ὥσπερ ἀγρίῳ θηρίῳ χαίτη.
ΑΓ. Ὡς σοφὸς κυνηγέτης ἐστὶν ὁ Βάκχος ὃς λίαν δεξιῶς ἐφῆκε τὰς Μαινάδας ἐπὶ τοῦτο τὸ θηρίον.
ΧΟ. Ὄντως εἰδήμων γάρ ἐστι τῆς τέχνης τοῦ θηρεύειν.
ΑΓ. Ἀλλ' ἐπαινεῖν σε δεῖ ταῦτα.
ΧΟ. Τί δ' ἐπαινέσω;
ΑΓ. Ἐπαινέσουσί με αὐτίκα μάλα Θηβαῖοί τε, καὶ παῖς μάλισθ' οὑμὸς, τὴν μητέρα ἰδὼν, τοιοῦτον περικλεῆ θῆρα περικλεῶς ἑλοῦσαν.
ΧΟ. Ἀγάλλῃ σὺ τούτῳ;
ΑΓ. Πῶς γὰρ οὔ; τίς γὰρ νίκης τρόπαιον ἂν στήσειε μεῖζον;
ΧΟ. Δεῖξον νῦν, ὦ τάλαινα, Θηβαίοις, ἣν ἥκεις ἐνεγκοῦσα ἄγραν ἐκ Κιθαιρῶνος.
ΑΓ. Ὦ Θηβαῖοι, οἱ τὴν ἑπτάπυλον ταύτην οἰκοῦντες πόλιν, ἔλθετ' ὀψόμενοι, ἣν αἱ Κάδμου θυγατέρες ἠγρεύσαμεν ἄγραν, οὐ θεσσαλικαῖς ἀγκύλαις αὐτῆς καταστο-

---

» Ἄνευ σθένεος ἀρείου » 1135. Γένεθλα] κόραι. 1139. Ἄρτι γένυν] ἐν ἄλλοις ἀρτυγένυν σύνθετον· γένυν μὲν οὖν ἐνταῦθα τὴν σιαγόνα λέγειν δοκεῖ, ἀλλ' οὐκ αὐτὸ τὸ γένειον· κόρυθα δὲ τὴν κεφαλὴν, ἐν ᾗ τίθεται ἡ περικεφαλαία, ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον, ἢ τὴν φενάκην, καὶ τοὺς προσθετούς φησι βοστρύχους (στίχ. 928.) εἰ θεῖμεν σώζεσθαι ταῦτα ἔτι ἐπὶ τῆς τμηθείσης κε-

Κάδμου θυγατέρες θηρὸς ἣν ἠγρεύσαμεν,
Οὐκ ἀγκυλωτοῖς Θεσσαλῶν στοχάσμασιν,
Οὐ δικτύοισιν, ἀλλὰ λευκοπήχεσιν
Χειρῶν ἀκμαῖσι· κᾆτα κομπάζειν χρεὼν,
Καὶ λογχοποιῶν ὄργανα κτᾶσθαι μάτην;
Ἡμεῖς δὲ ταύτῃ χειρὶ τόνδε θ' εἵλομεν,
Χωρίς τε θηρὸς ἄρθρα διεφορήσαμεν.
Ποῦ μοι πατὴρ ὁ πρέσβυς; ἐλθέτω πέλας.
Πενθεύς τ' ἐμὸς παῖς ποῦ 'στιν; αἰρέσθω λαβὼν
Πηκτῶν πρὸς οἶκον κλιμάκων προσαμβάσεις,
Ὡς πασσαλεύσῃ κρᾶτα τριγλύφοις τόδε
Λέοντος, ὃν πάρειμι θηράσασ' ἐγώ.
ΚΑ. Ἕπεσθέ μοι φέροντες ἄθλιον βάρος
Πενθέως, ἕπεσθε, πρόσπολοι, δόμων πάρος,
Οὗ σῶμα μοχθῶν μυρίοις ζητήμασι
Φέρω τόδ', εὑρὼν ἐν Κιθαιρῶνος πτυχαῖς,
Διασπαρακτὸν, κοὐδὲν ἐν ταυτῷ πέδῳ
Λαβὼν, ἐν ὕλῃ κείμενον δυσευρέτῳ.
Ἤκουσα γάρ που θυγατέρων τολμήματα,
Ἤδη κατ' ἄστυ τειχέων ἔσω βεβὼς
Σὺν τῷ γέροντι Τειρεσίᾳ Βακχῶν πέρι·
Πάλιν δὲ κάμψας εἰς ὄρος, κομίζομαι
Τὸν κατθανόντα παῖδα Μαινάδων ὕπο.
Καὶ τὴν μὲν Ἀκταίων' Ἀρισταίῳ ποτὲ
Τεκοῦσαν εἶδον Αὐτονόην, Ἰνώ θ' ἅμα
Ἔτ' ἀμφὶ δρυμοῖς οἰστροπλῆγας ἀθλίας

φαλῆς. 1157. Ἀγκυλωτοῖς] εἶδος ἀκοντίου τὸ ἀγκυλωτὸν, ἀπὸ τῆς κατὰ τὸ



χασάμεναι, οὐδὲ δικτύοις θηρεύσασαι, ἀλλ' ἐξ ἁβροῦ καὶ ἰσχυροῦ βραχίονος τὸ θηρίον τοῦτο καταπαλαίσασαι· εἶτα κομπάζουσί τινες ἐφ' ὅπλοις, καὶ λογχοποιῶν ἔργα πρὸς μάχας κτῶνται· ἡμεῖς γὰρ αὐταὶ αἵδε ἐκ χειρὸς στιβαρᾶς τὸν θῆρα εἵλομεν τοῦτον, καὶ τὰ μέλη αὐτοῦ διεσφαιρίσαμεν ἄλλος' ἄλλα, ὅπῃ τύχοι, διασπαράξασαι· ποῦ μοι πατὴρ ὁ γέρων; ἐλθέτω πλησίον· ποῦ δὲ Πενθεὺς ἔσθ' ὁ παῖς; δεῖ γὰρ αὐτὸν, κλίμακ' ἐπιθέντα πηκτὴν ὧδε πρὸ τῶν οἴκων, ἀναβῆναι, τὴν κάραν ταύτην προσπατταλεύσων παρὰ τοῖς τριγλύφοις.

ΚΑ. Ἕπεσθέ μοι, ὦ πρόσπολοι, ἕπεσθε φέροντες τὸ ἄθλιον σῶμα τοῦ Πενθέως ἐνταῦθα. οὗ τὰ μέλη πολλοῖς εὑρὼν καμάτοις ἐν ταῖς τοῦ Κιθαιρῶνος κοιλάσιν, ἔνθα κἀκεῖσε σπαράγματα οἰκτρὰ ὅλως, κοὐδὲν ἐν τῷ αὐτῷ, κείμενα ἐν ὕλῃ συνερεφῆ καὶ δυσδιεξιτήτῳ· ἐλθὼν γὰρ εἰς τὴν πόλιν σὺν τῷ γέροντι Τειρεσίᾳ, ἤκουσα παράτου τὰ τῶν ἐμῶν θυγατέρων τολμήματα· διὸ ἐπανελθὼν, ὅπως εἶχον, ἐπὶ τὸ ὄρος, φέρω τὸν παῖδα ὧδε διεσπαραγμένον ὑπὸ τῶν Μαινάδων· καὶ τὴν μὲν Αὐτονόην τὴν Ἀρισταίῳ τεκοῦσαν Ακταίωνα, καὶ Ἰνὼ εἶδον ἀμφοτέρας ἐλεεινῶς οἰστρηλατουμέ-

μέσον ἀγκύλης, ἀφ' ἧς λαμβανόμενον ἐρρίπτετο. 1165. Πηκτῶν] ἐν ἄλλοις πλεκτῶν· μέτιθι, ἃ εἴρηται ἡμῖν ἐν Τρῳάσι στίχ. 1017. 1166. Τριγλύφοις] τὰ ἐπὶ τῶν στύλων κοσμήματα. ἴδε Ὀρέσ. στίχ. 1374. καὶ Ἰφ. Ταύρ. στίχ. 133. 1169. Ἕπεσθε] Κάδμος εἰσέρχεται, φέρων τὰ νεκρὰ μέλη τοῦ Πενθέως, ἃ διασπαρέντα ἐν τῷ ὄρει ὑπὸ τῶν Βακχῶν, συνέλεξεν ἐν τῇ ὕλῃ. 1179 Ἀρισταίῳ] ἴδε κατωτέρω. στίχ. 1333.

Τὴν δ' εἶπέ τίς μοι δεῦρο βακχείῳ ποδὶ
Στείχειν Ἀγαυήν, οὐδ' ἄκραντ' ἠκούσαμεν·
Λεύσσω γὰρ αὐτῆς ὄψιν οὐκ εὐδαίμονα.

ΑΓ. Πάτερ, μέγιστον κομπάσαι πάρεστί σοι,
Πάντων ἀρίστας θυγατέρας σπεῖραι μακρῷ
Θνητῶν· ἁπάσας εἶπον, ἐξόχως δ' ἐμὲ,
Ἣ τὰς παρ' ἱστοῖς ἐκλιποῦσα κερκίδας,
Ἐς μεῖζον ἥκω, θῆρας ἀγρεύειν χεροῖν.
Φέρω δ' ἐν ὠλέναισιν, ὡς ὁρᾷς, τάδε
Λαβοῦσα τἀριστεῖα, σοῖσι πρὸς δόμοις
Ὡς ἂν κρεμασθῇ· σὺ δὲ, πάτερ, δέξαι χεροῖν·
Γαυρούμενος δὲ τοῖς ἐμοῖς ἀγρεύμασι,
Κάλει φίλους ἐς δαῖτα· μακάριος γὰρ εἶ,
Μακάριος, ἡμῶν τοιάδ' ἐξειργασμένων.

ΚΑ. Ὦ πένθος οὐ μετρητὸν, οὐδ' οἷόν τ' ἰδεῖν
Φόνον ταλαίναις χερσὶν ἐξειργασμένον.
Καλὸν τὸ θῦμα καταβαλοῦσα δαίμοσιν,
Ἐπὶ δαῖτα Θήβας τάσδε κἀμὲ παρακαλεῖς.
Οἴ μοι κακῶν μὲν πρῶτα σῶν, ἔπειτ' ἐμῶν!
Ὡς ὁ θεὸς ἡμᾶς ἐνδίκως μὲν, ἀλλ' ἄγαν,
Βρόμιος ἄναξ ἀπώλεσ', οἰκεῖος γεγώς!

ΑΓ. Ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ
Ἔν τ' ὄμμασι σκυθρωπόν! εἴθε παῖς ἐμὸς
Εὔθηρος εἴη, μητρὸς εἰκασθεὶς τρόποις,
Ὅτ' ἐν νεανίαισι Θηβαίαις ἅμα
Θηρῶν ὀριγνῷτ'! ἀλλὰ θεομαχεῖν μόνον

1206. Ὅτ' ἐν] ἐν ἄλλοις κεῖται ὅταν. 1207. Ὀριγνῷτο] οὕτω γράφε ἀντὶ τοῦ Ἀριγνῷτο· σημαίνει γὰρ αὐτὸ τοῦτο τὸ ὀρέγομαι.



νας διὰ τῶν δρυμῶν· τὴν δ' Ἀγαυὴν ἐλθεῖν δεῦρο ἔφητις βεβακχευμένην· καί μοι ἡ ἀκοὴ ἤδη φαίνεται ἔργον· πάρεστί μοι γὰρ αὕτη θέα σχετλιωτάτη.

ΑΓ. Πάτερ, νῦν πάρεστί σοι αὐχεῖν μάλιστα πάντων ἀνθρώπων ἐπ' εὐτεκνίᾳ, ὡς πάντων ἀνθρώπων ἀρίστας θυγατέρας, καὶ μάλιστ' ἐμὲ αὐτὴν γεννήσας· ἥτις ἱστουργικὰ ἀπωσαμένη ἔργα, ἐπὶ μείζω νῦν προὔβην, θῆρας χερσὶ θηρεύειν· ὁρᾷς γὰρ, ὃ φέρω ἐν χερσὶν, ἀριστεῖον ἀναλαβοῦσα τοῦτο, ἄξιον ἀνακεῖσθαι πρὸ τῶν σῶν ἀνακτόρων· Οὐκοῦν δέξαι, ὦ πάτερ, τὴν κεφαλὴν ταύτην· ἥδιστα δὲ σχὼν τοῖς ἐμοῖς ἀριστεύμασι, κάλει νῦν τοὺς σεαυτοῦ φίλους εἰς εὐωχίαν· μακάριος γὰρ εἶ, ὦ πάτερ, τρισμακάριος, τοιούτων θυγατέρων πατὴρ γεγονώς.

ΚΑ. Ὦ πένθος, πᾶν πένθος ὑπερβαλὸν τῷ πάθει· ὦ θέα ἀθέατος ὅλως, φόνος χερσὶ μητρὸς ἐξειργασμένος· καλὸν θῦμα θεοῖς προσενεγκοῦσα, παρακαλεῖς ἐφ' ἑστίασιν ἐμέ τε καὶ Θηβαίους· ὦ τοῦ πάθους! ὦ δύστηνος μὲν ἐγὼ πατὴρ, δυστυχεστέρα δὲ σὺ θυγάτηρ· ὡς λίαν σκληρῶς, κἂν ἄλλως δοκῇ δικαίως, ὁ θεὸς ἡμῖν ἐπεξῆλθεν, καὶ ταῦτα οἰκεῖος καὶ συγγενὴς γεγενημένος.

ΑΓ. Ὡς δύσκολον καὶ σκυθρωπὸν γέρων ἀνὴρ ἐστιν ἀνθρώποις· εἴη δέ μοι οὑμὸς παῖς κυνηγετικὸς θηροκτόνῳ μητρὶ ὅμοιος τοῖς τρόποις, θηρῶν μετὰ τῶν ἄλλων νέων ἐφιέμενος· ἀλλ' εἰ μόνος ἐκεῖνος ἀντικρούει τῷ

Οἷός τε ἐκεῖνος. νουθετητέος, πάτερ,
Σοί τ' ἐστὶ κἀμοί, μὴ σοφοῖς χαίρειν κακοῖς.
Ποῦ 'στιν; τίς αὐτὸν δεῦρ' ἂν ὄψιν εἰς ἐμὴν
Καλέσειεν, ὡς ἴδῃ με τὴν εὐδαίμονα.

ΚΑ. Φεῦ, φεῦ! φρονήσασαι μέν, οἷ' ἐδράσατε,
Ἀλγήσετ' ἄλγος δεινόν· εἰ δὲ διὰ τέλους
Ἐν τῷδ' ἀεὶ μενεῖτ', ἐν ᾧ καθέστατε,
Οὐκ εὐτυχοῦσαι, δόξετ' οὐχὶ δυστυχεῖν.

ΑΓ. Τί δ' οὐ καλῶς τῶνδ', ἢ τί λυπηρῶς ἔχει;

ΚΑ. Πρῶτον μὲν ἐς τόνδ' αἰθέρ' ὄμμα σὸν μέθες.

ΑΓ. Ἰδού· τί μοι τόνδ' ἐξυπεῖπας εἰσορᾶν;

ΚΑ. Ἔθ' ωὑτός, ἤ σοι μεταβολὰς ἔχειν δοκεῖ;

ΑΓ. Λαμπρότερος, ἢ πρὶν καὶ διϊπετέστερος.

ΚΓ. Τὸ δὲ πτοηθὲν τόδ' ἔτι σῇ ψυχῇ πάρα;

ΑΓ. Οὐκ οἶδα τοὔπος τοῦτο, γίγνομαι δέ πως
Ἔννους, μετασταθεῖσα τῶν πάρος φρενῶν.

ΚΑ. Κλύοις ἂν οὖν τι, κἀποκρίναι' ἂν σοφῶς;

ΑΓ. Ὡς ἐκλέλησμαί γ', ἃ πάρος εἴπομεν, πάτερ.

ΚΑ. Ἐς ποῖον ἦλθες οἶκον ὑμεναίων μέτα;

ΑΓ. Σπαρτῷ μ' ἔδωκας, ὡς λέγουσ', Ἐχίονι.

ΚΑ. Τίς οὖν ἐν οἴκοις παῖς ἐγένετο σῷ πόσει;

ΑΓ. Πενθεύς, ἐμῇ τε καὶ πατρὸς κοινωνίᾳ.

ΚΑ. Τίνος πρόσωπον δῆτ' ἐν ἀγκάλαις ἔχεις;

ΑΓ. Λέοντος, ὥς γ' ἔφασκον αἱ θηρώμεναι.

ΚΑ. Σκέψαι νυν ὀρθῶς, βραχὺς ὁ μόχθος εἰσιδεῖν.

SISMANOGLIO MEGARO



θεῷ, νουθετῶμεν ἡμεῖς ἐκεῖνον, πάτερ, ἀποσχέσθαι τῆς τοιαύτης κακοβούλου φιλοσοφίας· ποῦδ' ἐστὶν ἐκεῖνος, μετελθέτω τὶς αὐτὸν δεῦρο, ἵν' ἴδῃ τὴν ἑαυτοῦ εὐδαίμονα μητέρα.

ΚΑ. Φεῦ, φεῦ· συνιεῖσαι μὲν ποθ' ὕστερον, οἷα πέπρακται ἡμῖν, μέγιστον συμπενθήσετε πένθος· εἰ δὲ τῷ αὐτῷ, ἐν ᾧ καθέστητε νῦν, διαμείναιτε, κερδανεῖτε τοῦτ' αὐτὸ τὸ δοκεῖν εὐτυχεῖν ἐν τῷ δυστυχεῖν.

ΑΓ. Τίποτέ σοι βούλεται ταῦτ', ὦ πάτερ, οὕτω φιλοσοφούμενα; τί τῶν παρόντων οὐ καλῶς, ἢ λυπηρῶς δοκεῖ σοι ἔχειν;

ΚΕ. Ἴδε πρῶτον, ὦ τέκνον πρὸς τὸν αἰθέρα τοῦτον.

ΑΓ. Ἰδοὺ ἀναβλέπω· πρὸς τί δέ μοι λέγεις τοῦτο;

ΚΑ. Ἔθ' ὁ αὐτός, ἢ ἀλλοῖος δοκεῖ σοι εἶναι οὗτος;

ΑΑ. Λαμπρότερος γ', ἢ πρὶν προσπίπτει μοι τῇ ὄψει.

ΚΑ. Ἡ δὲ πτόησις καὶ παραφορὰ ἔνεστί σοι ἔτι αὕτη;

ΑΓ. Οὐκ οἶδ', ὦ πάτερ, ὅ,τι φῂς τοῦτο· ἀλλ' ἤδη ὑπαισθάνομαί πως ἀλλοία τὰς φρένας γεγενημένη, τῶν πρὶν μεταστᾶσα.

ΚΕ. Νῦν οὖν ἆρ' ἀκούσασα, ἀποκρινῇ μοι σωφρόνως.

ΑΓ. Καὶ μὴν τῶν πρὶν λόγων λήθην τελείαν ἔχω.

ΚΑ. Εἰπέ μοι τίνι σέ ποτε συνήρμοσα εἰς γάμον;

ΑΓ. Ἐχίονι τῷ Σπαρτῷ, ὡς ἴσασι τοῦτο πάντες.

ΚΑ. Τίνα οὖν παῖδα τυγχάνεις αὐτῷ τεκοῦσα;

ΑΓ. Πενθέα αὐτὸν ἐξ ὁμιλίας γάμου.

ΚΑ. Νῦν δὲ τίνος κεφαλὴν φέρεις ἐν ἀγκάλαις;

ΑΒ. Λέοντος, ὡς ἔλεγον αἱ σὺν ἐμοὶ θηρῶσαι.

ΚΑ. Οὐκοῦν σκέψαι νῦν, σωφρονέστερον ἰδοῦσα.

ΑΓ. Ἔα! τί λεύσσω; τί φέρομαι τόδ' ἐν χεροῖν;
ΚΑ. Ἄθρησον αὐτὸ καὶ σαφέστερον μάθε.
ΑΓ. Ὁρῶ μέγιστον ἄλγος, ἡ τάλαιν' ἐγώ!
ΚΑ. Μῶν σοι λέοντι φαίνεται προσεικέναι;
ΑΓ. Οὐκ· ἀλλὰ Πενθέως ἡ τάλαιν' ἔχω κάρα.
ΚΑ. Οἰμωγμένον γε πρόσθεν, ἤ σε γνωρίσαι.
ΑΓ. Τίς ἔκτανέν νιν; πῶς ἐμὰς ἦλθ' ἐς χέρας;
ΚΑ. δύστην' ἀλήθει', ὡς ἐν οὐ καιρῷ πάρει!
ΑΓ. Λέγ', ὡς τὸ μέλλον καρδία πήδημ' ἔχει.
ΚΑ. Σύ νιν κατέκτας, καὶ κασίγνηται σέθεν.
ΑΓ. Ποῦ δ' ὤλετ'; ἦ κατ' οἶκον; ἢ ποίοις τόποις;
ΚΑ. Οὗπερ πρὶν Ἀκταίωνα διέλαχον κύνες.
ΑΓ. Τί δ' ἐς Κιθαιρῶν' ἦλθε δυσδαίμων ὅδε;
ΚΑ. Ἐκερτόμει θεὸν, σάς τε βακχείας, μολών.
ΑΓ. Ἡμεῖς δ' ἐκεῖσε τίνι τρόπῳ κατήραμεν;
ΚΑ. Ἐμάνητε, πᾶσά τ' ἐξεβακχεύθη πόλις.
ΑΓ. Διόνυσος ἡμᾶς ὤλεσ'· ἄρτι μανθάνω.
ΚΑ. Ὕβριν γ' ὑβρισθείς. θεὸν γὰρ οὐχ ἡγεῖσθέ νιν.
ΑΓ. Τὸ φίλτατον δὲ σῶμα ποῦ παιδὸς, πάτερ;
ΚΑ. Ἐγὼ μόλις τόδ' ἐξερευνήσας φέρω.
ΑΓ. Ἦ πᾶν ἐν ἄρθροις συγκεκλεισμένον καλῶς;

* * *

Πενθεῖ δὲ τί μέρος ἀφροσύνης προσῆκ' ἐμῆς;
ΚΑ. Ὑμῖν ἐγένεθ' ὅμοιος, οὐ σέβων θεόν.
Τοιγὰρ ξυνῆψε πάντας ἐς μίαν βλάβην,
Ὑμᾶς τε, τόνδε θ', ὥστε διολέσαι δόμους,
Κἄμ', ὅστις ἄτεκνος ἀρσένων παίδων γεγὼς,
Τῆς σῆς τόδ' ἔρνος, ὦ τάλαινα, νηδύος

SISMANOGLIO MEGARO



ΑΓ. Ὦ θεοί! τί μοι τοῦτο προσέπεσε τῇ ὄψει;
ΚΑ. Ἴδ' αὖθις, ἵνα σαφέστερον μάθῃς τοῦτο.
ΑΓ. Ὁρῶ, ὃ ὁρῶσα, βέλος ὀξὺ λαμβάνω.
ΚΑ. Τί οὖν; λέοντι ὅμοιον τοῦτο δοκεῖ σοι εἶναι;
ΑΓ. Φέρω, οἷον φέρω, οἴμοι, τὴν κεφαλὴν Πενθέως.
ΚΑ. Ὤμωκταί σοι πρίν γ', ἤ σε γνωρίσαι ταύτην.
ΑΓ. Τίς κτανὼν, εἰς τὰς ἐμὰς ἀνέθηκε ταύτην χεῖρας.
ΚΑ. Ἀλήθεια δύστηνε, πῶς ἂν νῦν σοι χρησαίμην;
ΑΓ. Λέγ', ὦ πάτερ, σαφῶς, ὡς ἔνδον πάλλει μοι τὸ στῆθος.
ΚΑ. Σὺ, ὦ δύστηνε, σὺν Ἰνοῖ ἀπέκτεινας ἐκεῖνον.
ΑΓ. Πῇ δή; ἐνταῦθα, ἢ ὅπῃ γῆς ἀπολωλὼς τυγχάνει;
ΚΑ. Ὅπῃ καὶ Ἀκταίωνα διέσπασαν αἱ κύνες.
ΑΓ. Τί ποθ' ὁ δύστηνος εἰς Κιθαιρῶνα ἦλθε;
ΚΑ. Τόν τε θεὸν, χ' ὑμᾶς τὰς Βάκχας κερτομίσων.
ΑΓ. Ὑμεῖς δ' ὅπως πότ' ἐγενόμεθα ἐκεῖσε;
ΚΑ. Μανεῖσαι, ὑμεῖς τε καὶ πᾶσα ἡ πόλις αὕτη.
ΑΓ. Μανθάνω ἤδη ὑπὸ Διονύσου ἐξαπολωλυῖα.
ΚΑ. Καὶ γὰρ ἐξυβρίσατε εἰς αὐτὸν μὴ δεξάμεναι πρῶτον.
ΑΓ. Τὸ δ' ἄλλο σῶμα τοῦ παιδὸς ποῦ ποτ' ἐστιν, ὦ πάτερ;
ΚΑ. Τοῦτ' ἐγὼ μόλις ἀθροίσας ἐνταῦθα φέρω.
ΑΓ. Εἰσὶ τὰ μέλη πάντα συνηρμοσμένα; καὶ τί μετῆν Πενθεῖ τῆς ἐμῆς ἀφροσύνης;
ΚΑ. Ἐπειδὴ γὰρ κἀκεῖνος ὁμοίως ὑμῖν οὐκ ἤθελε σέβειν τὸν θεὸν, τῷ αὐτῷ πάθει ἐτίσατο ἅπαντας. ὑμᾶς τ καὶ τοῦτον, καὶ ἅπαντα διολέσας τὸν οἶκον· περὶ δ ἐμαυτοῦ τί καὶ ἂν εἴποιμι; ὃς, ἀρρένων μοι μὴ γεγονότων παίδων, ὁρῶ νῦν, ὃν ἐλπὶς ἦν ἀνασώσειν τὸν οἶκον, καὶ τοῦτον, ὦ δύστηνε, κάκιστα καὶ αἴσχιστα

Αἴσχιστα καὶ κάκιστα κατθανόνθ' ὁρῶ,
Ὧ δῶμ' ἀνέβλεπεν· ὃς συνεῖχες, ὦ τέκνον,
Τοὐμὸν μέλαθρον, παιδὸς ἐξ ἐμῆς γεγὼς,
Πόλει τε τάρβος ἦσθα· τὸν γέροντα δὲ
Οὐδεὶς ὑβρίζειν ἤθελ', εἰσορῶν τὸ σὸν
Κάρα· δίκην γὰρ ἀξίαν ἐλάμβαν' ἄν.
Νῦν δ' ἐκ δόμων ἄτιμος ἐκβεβλήσομαι
Ὁ Κάδμος ὁ μέγας, ὃς τὸ Θηβαίων γένος
Ἔσπειρα, κἀξήμησα κάλλιστον θέρος.
Ὦ φίλτατ' ἀνδρῶν, (καὶ γὰρ οὐκέτ' ὢν, ὅμως
Τῶν φιλτάτων ἔμοιγ' ἀριθμήσῃ τέκνων)
Οὐκ ἔτι γενείου τοῦδε θιγγάνων χερὶ,
Τὸν μητρὸς αὐδῶν πατέρα, προσπτύξῃ τέκνον,
Λέγων· τίς ἀδικεῖ, τί σ' ἀτιμάζει, γέρον,
Τίς σὴν ταράσσει καρδίαν, λυπρὸς ὤν;
Λέγ', ὡς κολάζω τὸν ἀδικοῦντά σ', ὦ πάτερ.
Νῦν δ' ἄθλιος μὲν εἴμ' ἐγὼ, τλήμων δὲ σὺ,
Οἰκτρὰ δὲ μήτηρ, τλήμονες δὲ σύγγονοι.
Εἰ δ' ἔστιν, ὅστις δαμόνων ὑπερφρονεῖ,
Ἐς τοῦδ' ἀθρήσας θάνατον, ἡγείσθω θεούς.

ΧΟ. Τὸ σὸν μὲν ἀλγῶ, Κάδμε· σῆς δ' ἔχει δίκην
Παῖς παιδὸς, ἀξίαν μὲν, ἀλγεινὴν δὲ σοί.

1265. Ἐλάμβαν' ἄν] ἐν ἄλλοις Ἐλάμβανεν, ἄνευ τοῦ ἄν. ἔστι δ' οὖν Ἐλάμβανον ἂν τὸ πλῆρες· εἰμὴ τι γραπτέον μᾶλλον, Ἐλάμβανες ἄνευ τοῦ Ἂν.



τεθνηκότα· ὦ τέκνον δυστυχὲς, ὃς παῖς τῆς ἐμῆς γενόμενος θυγατρὸς, τὸν ἐμὸν συνεῖχες οἶκον, φόβον ἐμπνέων τοῖς πολίταις· οὐδεὶς γὰρ ἐκεῖνον, εἰς σὲ ὁρῶν, ἐτόλμα ποτ' εἰς ἐμὲ τὸν γέροντα ἐξυβρίζειν· δίκην γὰρ παρὰ τὰς τῶν τοιούτων ἀξίαν ἐλάμβανες· νῦν δ' ἀναξίως ἐκβεβλήσομαι τῆς οἰκίας, ὁ μέγας παρὰ πᾶσι γενόμενος Κάδμος· ὃς τὸ γένος σπείρας τὸ τῶν Θηβαίων, κάλλιστον καρπὸν ἐξημησάμην· ὦ φίλτατον τέκνον, καίτοι μηκέτι μήτε βλέπων, μήτ' ἀκούων, μήθ' ὅλως αἰσθανόμενος, ἀλλ' ἔμοιγ' ἐν τοῖς φιλτάτοις τῶν τέκνων εἶ· σὺ δ' οὐκέθ' ἁπτόμενος τοῦ γενείου, περιπτύξῃ συνήθως τὸν σαυτοῦ πάππον, λέγων, ἃ πολλάκις πρότερον εἴωθας· τίς ἀδικεῖ σε, ὦ γέρον; τίς τὴν σὴν διακναίει ψυχὴν, ἀτιμάζων, ἢ ὁπωσδήποτε λυπῶν, ἢ ἐπηρεάζων; λέγε, ὦ πάππε, ὡς δίκην λάβοιμι παρὰ τοῦ ἀδικοῦντος· νῦν δὲ δύστηνος μὲν ἐγὼ, τλήμων δὲ σὺ, ὦ παῖ, οἰκτρὰ δὲ καὶ ἡ μήτηρ, δυστυχεῖς δὲ καὶ οἱ ἄλλοι. Ἀλλ' εἴτις ἔσθ' ὅστις τῶν θεῶν ὀλιγωρεῖ, ἐς τὸν τούτου θάνατον ἀπιδὼν, σεβέσθω τούγε λοιποῦ ἐκείνους.

ΧΟ. Ἴσθι με, ὦ Κάδμε, τὸ μὲν σὸν μέρος συλλυπούμενον λίαν τῆς συμφορᾶς· ὁ δὲ σὸς θυγατριδοῦς, λυπηρὰν μὲν σοι, ἀλλ' ἀξίαν δέδωκε δίκην.

ΑΓ. Ὦ πάτερ, ὁρᾷς γὰρ τἄμ' ὅσα μετεστράφη·

* * * * * *

ΔΙ· * * * * * *

Δράκων γενήσῃ μεταβαλὼν, δάμαρ τε σὴ
Ἐκθηριωθεῖσ', ὄφεως ἀλλάξει τύπον,
Ἣν Ἄρεως ἔσχες Ἁρμονίαν, θνητὸς γεγώς.
Ὄχον δὲ μόσχων, χρησμὸς ὡς λέγει Διὸς,
Ἐλᾷς μετ' ἀλόχου, βαρβάρων ἡγούμενος.
Πολλὰς δὲ πέρσεις ἀναρίθμῳ στρατεύματι
Πόλεις· ὅταν δὲ Λοξίου χρηστήριον
Διαρπάσωσι, νόστον ἄθλιον πάλιν
Σχήσουσι· σὲ δ' Ἄρης Ἁρμονίαν τε ῥύσεται,
Μακάρων τ' ἐς αἶαν σὸν καθιδρύσει βίον.
Ταῦτ' οὐχὶ θνητοῦ πατρὸς ἐκγεγὼς λέγω
Διόνυσος, ἀλλὰ Ζηνός· εἰ δὲ σωφρονεῖν
Ἔγνωθ', ὅτ' οὐκ ἠθέλετε, τὸν Διὸς γόνον
Εὐδαιμονοῖτ' ἂν σύμμαχον κεκτημένοι.

ΚΑ. Διόνυσε, λισσόμεσθά σ', ἠδικήκαμεν.

ΔΙ. Ὄψ' ἐμάθεθ' ἡμᾶς· ὅτε δ' ἐχρῆν, οὐκ ᾔδετε.

ΚΑ. Ἔγνωκα μὲν ταῦτα· ἀλλ' ἐπεξέρχῃ λίαν.

---

1282. Ὦ πάτερ] τοῦτο δῆλον, ὅτι ἡ Ἀγαυὴ λέγει πρὸς Κάδμον· ἀλλ' ἐξέλιπε τὸ χωρίον ὅλον τοῦτο, ἐν ᾧ ὡς εἰκάσαι, ἡ Ἀγαυὴ ἐθρήνησε τὸν παῖδα, ὃν εἰκὸς ἦν μετὰ τὸν πατέρα θρηνῆσαι καὶ αὐτήν· διὸ καὶ ἀσυνάρτητα ταῦτ' ἐστὶ, καὶ ἀνακόλουθα ὅλως· οὔτε γὰρ ἔνθα Ἀγαυὴ ἔληξεν, ὁρῶμεν, οὔθ' ὅθεν ἤρξα-

SISMANOGLIO MEGARO



ΑΓ. Ὁρᾷς, ὦ πάτερ, ἐξ οἵων οἷα μοι περιέστη τὰ πράγματα;

ΔΙ. Κάδμε, ἐπειδὴ ἐξυβρίσατε εἰς ἐμὲ, μὴ δεξάμενοί με ἐλθόντα, αὐτός τε καὶ ἡ Ἁρμονία, ἣν θυγατέρα Ἄρεως οὖσαν, θνητὸς ὢν αὐτὸς, ἔσχες γυναῖκα, ἐκθηριωθέντες, μορφὴν μεταλήψεσθε δράκοντος· εἶτα δὲ ἀναβὰς μετὰ τῆς γυναικὸς ἐπὶ ὀχήματος βοϊκοῦ, ὡς λέγει ὁ χρησμὸς τοῦ Διὸς, ἐξελάσεις τοῦ πρόσω, μυρίων βαρβάρων ἡγούμενος· πολλὰς δὲ σὺν τούτοις πορθήσεις πόλεις· οἳ ἐπειδὰν καὶ τὸ τοῦ Λοξίου διαρπάσωσι μαντεῖον, ἐκεῖνοι μὲν κακῶς ἐπανήξουσι· σὲ δὲ καὶ Ἁρμονίαν ὁ Ἄρης ῥυσάμενος, καθιδρύσει ὑμᾶς εἰς τὴν γῆν τῶν μακάρων· ταῦτα δὲ τυγχάνεις ἤδη ἀκούων παρ' ἐμοῦ Διονύσου, οὐ θνητοῦ πατρὸς γεγονότος, ἀλλ' ἐξ αὐτοῦ τοῦ Διός· εἰ δὲ ἐσωφρονεῖτ', ὁπότ' οὐκ ἠθέλετε, οὐκ ἂν τοιαῦτα ἐπάσχετε, τὸν τοῦ Διὸς παῖδα σύμμαχον κεκτημένοι, ἀλλ' ἦτ' ἂν ἐν πᾶσιν ἀγαθοῖς.

ΚΑ. Διόνυσε, σύγγνωθι ἡμῖν ἀδικήσασιν.

ΔΙ· Ὀψὲ τυγχάνετέ με μεμαθηκότες ἤδη.

ΚΑ. Συνῆκα ἡμαρτηκώς· ἀλλὰ κολάζεις λίαν.

---

το Διόνυσος, ταῦτα σώζεται. 1285. Ἁρμονίαν] ἴδε Φοιν. στίχ. 7. τὸ δὲ ἐκθηριωθεῖσ' ἐν ἄλλοις κεῖται ἐκθηριωθείς. δοκεῖ μὲν οὕτω μᾶλλον ἀκολουθεῖν ὁ λόγος· ἀλλ' ὡς ἐν παρεφθαρέντι χωρίῳ οὐκ ἔχομέν τι σαφῶς εἰπεῖν· ἀμφότεροι γὰρ ὅ,τε Κάδμος καὶ ἡ Ἁρμονία μυθεύονται εἰς φύσιν δρακόντων μεταβεβλῆσθαι.

ΔΙ. Καὶ γὰρ πρὸς ὑμῶν, θεὸς γεγὼς, ὑβριζόμην.
ΚΑ. Ὀργὰς πρέπει θεοὺς οὐχ ὁμοιοῦσθαι βροτοῖς.
ΔΙ. Πάλαι τάδε Ζεὺς οὐμὸς ἐπένευσεν πατήρ.
ΑΓ. Αἶ, αἶ! δέδοκται, πρέσβυ· τλήμονες φυγαί!
ΚΑ. Ὦ τέκνον, ὡς ἐς δεινὸν ἤλθομεν κακὸν,
Σύ θ' ἡ τάλαινα, σύγγονοί τε σαὶ φίλαι,
Ἐγώ θ' ὁ τλήμων βαρβάρους ἀφίξομαι
Γέρων μέτοικος· ἔτι δέ μοι τὸ θέσφατον,
Ἐς Ἑλλάδ' ἀγαγεῖν μιγάδα βάρβαρον στρατόν.
Καὶ τὴν Ἄρεως παῖδ' Ἁρμονίαν, δάμαρτ' ἐμὴν,
Δράκων, δρακαίνης φύσιν ἔχουσαν ἀγρίαν,
Ἄξω 'πὶ βωμοὺς καὶ τάφους Ἑλληνικοὺς,
Ἡγούμενος λόγχαισιν, οὐδὲ παύσομαι
Κακῶν ὁ τλήμων, οὐδὲ τὸν καταιβάτην
Ἀχέροντα πλεύσας, ἥσυχος γενήσομαι.
ΑΓ. Ὦ πάτερ, ἐγὼ δέ σου στερεῖσα φεύξομαι.
ΚΑ. Τί μ' ἀμφιβάλλεις χερσὶν, ὦ τάλαινα παῖ,
ὄρνις ὅπως κηφῆνα πολιόχρως κύκνος;
ΑΓ. Ποῖ γὰρ τράπωμαι, πατρίδος ἐκβεβλημένη;
ΚΑ. Οὐκ οἶδα, τέκνον· μικρὸς ἐπίκουρος πατήρ.
ΑΓ. Χαῖρ', ὦ μέλαθρον, χαῖρ', ὦ πατρῴα
Πόλις· ἐκλείπω σ' ἐπὶ δυστυχίᾳ,
Φυγὰς ἐκ θαλάμων.

1303. Φυγαὶ] σημειωτέον, ὅπως τὸ πληθυντικὸν ἑνικῷ συμφέρεται ῥήματι· τῶν μὲν οὖν θυγατέρων ὁ θεὸς κατέγνω φυγὴν ἐκτὸς τοῦ Κιθαιρῶνος ὁποιδήποτε· Κάδμου δὲ καὶ Ἁρμονίας εἰς Ἰλλυριοὺς ἐλθεῖν, κἀκεῖθεν στρατοῦ ἡγούμενον ἐπελθεῖν Ἕλλησιν, ὅπου τῆς στρατιᾶς διαφθαρείσης ὕστερον



ΚΑ. Θεὸν δ' ὄντα δεῖ τὴν ὀργὴν τῶν θνητῶν ἔλαττω ἔχειν.
ΔΙ. Ζεὺς δ' οὕτω ταῦτα πάλαι ἐπένευσε γενέσθαι.
ΑΓ. Αἶ, αἶ· δέδοκται ἄρ, ὦ πάτερ, ἡμᾶς φυγεῖν ἀθλίως.
ΚΑ. Ἐς τοὔσχατον τῶν κακῶν ἥκομεν, ὦ τέκνον· σοῦ μὲν γὰρ αὐτῆς καὶ τῶν σῶν ἀδελφῶν κατέγνωσται φυγή· ἐγὼ δε γέρων ἄθλιος μέτοικος ἐν βαρβάροις ἔσομαι κατὰ τὴν Ἰλλυρίαν· ἔνθα στρατὸν βάρβαρον ἀθροίσας μιγάδα κατὰ τὸν χρησμὸν, καὶ Ἁρμονίαν τὴν Ἄρεως μὲν θυγατέρα, ἐμὴν δὲ γυναῖκα, δράκων δράκαιναν ἔχων, ἡγήσομαι αὐτοῦ ἐπὶ βωμοὺς καὶ τάφους τῶν Ἑλλήνων· καὶ οὐδέποτε λήξω τῶν κακῶν ὁ ταλαίπωρος, οὐδ' αὐτὸν διαπλεύσας Ἀχέροντα.
ΑΓ. Ἐγὼ, ὦ πάτερ, φευξοῦμαι, σοῦ στερηθεῖσα.
ΚΑ. Τί ποθ' οὕτως, ὦ δύσνηνον τέκνον, ὥσπερ κύκνος εὐανθὴς, τὸν ἀπτῆνα καὶ κόθουρον ἐμὲ περιπτύσσῃ;
ΑΓ. Ποῖ γὰρ τράπωμαι, ἐκπεσοῦσα τῆς πατρίδος.
ΚΑ. Οὐκ οἶδα τέκνον, οὐδ' ἐξαρκέσω σοι πρὸς ταῦτα.
ΑΓ. Χαῖρ', ὦ δῶμα πατρῷον. χαῖρε καὶ σὺ, ὦ πόλις· λείψω γὰρ ἤδη σε, ἀθλίως λιποῦσα τοὺς θαλάμους.

ὑπὸ τοῦ Ἀπόλλωνος, Ἄρης ἁρπάσας Κάδμον καὶ Ἁρμονίαν, εἰς τὴν τῶν Μακάρων γῆν καθιδρύσει. 1314. Ἀχέροντα πλεύσας] οὐ πρὸς τὸν ᾅδην, οἶμαι, ἀλλ' ἐς τοὺς Ἰλλυριούς· ἵν' ᾖ ὁ νοῦς ὧδ' ἔχων· μήτε νῦν διαπλεύσας τὸν Ἀχέροντα (τοῦτον δὴ τὸν καταφέροντα τοὺς νεκροὺς εἰς τὸν ᾅδην) πρὸς τοὺς Ἰλλυριοὺς, ἥσυχος ἔσομαι· ἀλλὰ κἀκεῖθεν δεῖ με αὖθις ἐκ τοῦ χρησμοῦ ἐπὶ βωμοὺς καὶ ναοὺς Ἑλληνικοὺς στρατὸν ἀπαγαγεῖν. 1317. Ὅπως κηφῆνα] ἑαυτὸν μὲν εἰκάζει κηφῆνι διὰ τὸ ἐκ τοῦ γήρως ἀργόν· ὃν καὶ κόθουρον καλοῦσι· τὴν δ' Ἀ-

ΚΑ. Στεῖχέ νυν, ὦ παῖ, τὸν Ἀρισταίου.
ΑΓ. Στέρομαί σε, πάτερ.
ΚΑ. Κἀγώ σε τέκνον,
Καὶ σὰς ἐδάκρυσα κασιγνήτας.
ΑΓ. Δεινῶς, δεινῶς τάνδ᾽ αἰκίαν
Διόνυσος ἄναξ.
Τοὺς σοὺς εἰς οἴκους ἔφερεν.
ΔΙ. Καὶ γὰρ ἔπασχον δεινὰ πρὸς ὑμῶν,
Ἀγέραστον ἔχων ὄνομ᾽ ἐν Θήβαις.
ΑΓ. Χαῖρε, πάτερ, μοι·
ΚΑ. Χαῖρ᾽, ὦ μελέα καὶ σύ γε θύγατερ·
Χαλεπῶς δ᾽ εἰς τόδ᾽ ἂν ἥκοις.
ΑΓ. Ἄγετ᾽, ὦ πομποί, με, κασιγνήτας
Ἵνα συμφυγάδας λήψομαι οἰκτράς.
Ἔλθοιμι δ᾽, ὅπου
Μήτε Κιθαιρὼν μιαρός μ᾽ ἐσίδοι,
Μήτε Κιθαιρῶν᾽ ὄσσοισιν ἐγώ,
Μήθ᾽ ὅθι θύρσος μνῆμ᾽ ἀνάκειται·
Βάκχαις δ᾽ ἄλλαισι μέλοιεν.
ΧΟ. Πολλαὶ μορφαὶ τῶν δαιμονίων,
Πολλὰ δ᾽ ἀέλπως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντα οὐκ ἐτελέσθη·
Τῶν δ᾽ ἀδοκήτων πόρον εὗρε θεός·
Τοιόνδ᾽ ἀπέβη τόδε πρᾶγμα.

---

γαυὴν κύκνῳ ποικίλῳ διὰ τὸ ἀνθηρὸν ἴσως τῶν ἱματίων. 1323. Τὸν Ἀρισταίου] οἶκον· ἦν δ᾽ ὁ Ἀρισταῖος καθ᾽ Ἡσίοδον (Θεογ. στίχ. 977.) ἀνὴρ Αὐτονόης τῆς ἀδελφῆς αὐτῆς· φησὶ γάρ·

» Αὐτονόην θ᾽, ἣν γῆμεν Ἀρισταῖος βαθυχαίτης.



ΚΑ. Ἴθι, ὦ παῖ, ἴθι εἰς τὸν τοῦ Ἀρισταίου οἶκον.

ΑΓ. Ἀλλ᾽ οὐκέτ᾽ ἕξω σὲ ἐκεῖ, ὦ πάτερ.

ΚΑ. Κἀγώ σε, ὦ τέκνον· θρηνῶ δὲ καὶ τὰς ἀδελφάς σου.

ΑΓ. Δεινήν, ὡς Δεινὴν Διόνυσος εἰς τὸν σὸν οἶκον ἐπήνεγκε τὴν βλάβην.

ΔΙ. Οὐ γὰρ μετρίως ὑφ᾽ ὑμῶν ἐξυβριζόμην, μηδὲν ἐν Θήβαις τιμώμενος.

ΑΓ. Χαῖρέ μοι, ὦ πάτερ.

ΚΑ. Χαῖρε καὶ σύ, θύγατερ δυστυχεστάτη, καίπερ χαλεπόν σοι τοῦ λοιποῦ ἔσται τὸ χαίρειν.

ΑΓ. Ἄγετέ με ὑμεῖς, ὦ πομποί, ὅπως τὰς ἐμαυτῆς ἀδελφὰς παραλαβοῦσα, τράπωμαι εἰς φυγήν· εἴη δέ μοι γενέσθαι, ἔνθα μήθ᾽ ὁ μιαρὸς Κιθαιρὼν ἐμὲ, μήτ᾽ ἔτ᾽ ἐγὼ αὐτὸν ἴδοιμι ὀφθαλμοῖς· μήθ᾽ ὅπη ὁ θύρσος ἀνακείμενος, ἀνακαλέσειμοι τὴν μνήμην τῶν ἐμῶν συμφορῶν· ἄλλαις Βάκχαις ἐξῆς μελέτω τούτων.

ΧΟ. Ὡς ποικίλως αἱ τῶν ἀνθρώπων τύχαι ῥιπίζονται. ἐν τῷ βίῳ, τῶν θεῶν ἄλλοτ᾽ ἄλλως ταλαντευόντων τὰ πράγματα τοῖς βροτοῖς· αἵ τε γὰρ ἐλπίδες ὡς ἔγγιστα πολλάκις γενόμεναι, οἴχονται ἀποπτᾶσαι, καὶ τῶν ἀνελπίστων εὐμάρεια γίγνεται. τοῦτο γὰρ ἡ παροῦσα ἔδειξεν ἡμέρα.

---

Κατὰ γοῦν τοῦτο διώρθωται καὶ ἀνωτέρω (στίχ. 1179.) τὸ Ἀριστέα εἰς τὸ Ἀρισταίῳ· συνᾴδει γὰρ καὶ τὸ μέτρον οὕτω μᾶλλον. 1338. Ὄσσοισίν ἐγὼ] ἐν ἄλλοις Ὄσσοισιν ἐγώ· αἱ δὲ τῶν πρὸ ἐμοῦ εἰκασίαι περὶ τούτου εἰσὶν αἵδε· Ὄσσοισί μ᾽ ἐγώ. — Ὄσσοισιν ὁρῶ. — Ὄσσοις ἐπίδοιμ᾽ ἐγώ. — Ὄσσοισιν ἴδοιμ᾽ ἐγώ. — Ὄσσοισι μιγῶ, αὐτῷ δηλ. τῷ Κιθαιρῶνι. 1341. Πολλαὶ μορφαὶ τῶν δαιμονίων] ὅρα τὰ αὐτὰ κἀν τῷ τέλει Μηδείας. καὶ ἀλλαχῇ.